



292. e.
22.





HYMNVS CERERIS
HOMERICVS



EDIDIT

FRANCISCVS BVECHELER

ADIECTVM EST MANVSCRIPTI SPECIMEN



LIPSIAE
IN AEDIBVS B. G. TEVBNERI
MDCCCLXVIIII

LIPSIAE TYPIS B. G. TEVBNERI.

Hymnos Homericos inde ab eo tempore quo collectio eorum facta est circiter Apollodori mythographi et grammatici aetatem, plures extitisse quam quot e codicum memoria etiamnum novimus, testimonio nullo comprobatur. conexos eos in Byzantino exemplari ex quo nostrorum origo repetenda est, cum Orphicis fuisse, quemadmodum hodie quoque in multis codicibus Orphici et Homerici hymni coniuncti apparent, inde videtur consequi quod Martis hymnus (VIII) interpositus est Homericis Orphicus, cuius versus septendecim, ut argumentum omittam orationemque, dispondeum habent nullum nec mascula caesura nisi quinquiens incisi sunt. atque hic hymnus per omnes libros propagatus est, duo autem qui primi inter Homericos fuere Bacchi et Cereris hymni in altero exemplari, quod libri saeculo XV scripti Laurentianus codex plutei XXXII 45 optimus ceterique eiusdem generis secuntur, paginarum aliqua iactura aut alio casu perierunt, servati sunt in altero, cuius auctoritatem unus hodie tenet codex Mosquensis olim, nunc Leidensis. nam Parisinus in catalogo supplementi codicum graecorum numero 457 notatus, de quo Gustavus Meynckius certiorem me fecit, praeter Euripidea ac Theophrastea continens hymnum Cereris Bacchicique hymni partem, proximo saeculo conscriptus a Levesquio aperte a Batavorum copiis ac doctrina oriundus est.

Nobilis ille codex e quo Cereris hymnum Ruhnkenius anno MDCCLXXX in lucem protulit, Mosquae a Christiano Friderico Matthaeo inter pullos et porcos inventus, mox emptus a Ruhnkenio bibliothecae Leidensi inlatus est (cf. Geeli catalogum p. 9 n. 22) cuius praefecti Pluygers et du Rieu egregia munificentia litterarum studia foventes non meo solum usui eum commodarunt sed etiam aliorum ad notitiam permiserunt divolgari lucis lapidumque opera multiplicatum. scriptus exeunte videtur saeculo XIV in chartis linteis subflavis ac fragilibus, advectum esse Mos-

tiarum diversitates aut hiatus interrupto versuum tenore, deinde versus non factos ab eo qui proximos fecit sed ab interpolatore uncis significavi. de quibus plerisque postquam alii disputarunt, nescio an supervacaneum sit meum iudicium pluribus exponere. tantum vero nunc addere licebit non id solum mihi videri elaborandum, ut interpolata segregemus, sed etiam quia prorsus non eiusdem omnia farinae sunt, ut qua quid aetate interpolatum sit investigemus. velut versus 35 et 36 quamquam alienos iudicavi ab eo poeta qui Hecaten raptus testem et *οὐρανὸν ἀστερόεντα* ac tripertitam illam universi descriptionem et *τόφρά οἱ ἐλπὶς ἔθελγε νόον* fecerat, tamen non dubium est quin antiquitus traditi pervenerint in collectionem Alexandrinam. contra versus 413 et 448 tanta sunt sensus locutionisve pravitate insignes, ut non multo ante decimum a Christo saeculum compositos a Byzantino credam impleturo spatium quod in codicis charta interiectum fuerit vacuum. atque hi sunt intervalli longissimi quod ab origine hymnorum Mosquensis auctoritatem disiungit, termini prope extremi: interea et eum qui primus poematia haec collegit, novasse complura existimo et pauca quaedam hominem recentem ab Orphica poesi, fortasse eundem qui uno Orphicos Homericosque hymnos volumine inclusit. coniecturas editorum aliorumque paene omnes rettuli, tum quod neque auctores emendationum accurate indicatos vidi et priorum inventa multa iterata a posterioribus, tum quod ad permultos versus si minus emendandos at rectius tamen iudicandos vel perversas doctorum hominum opiniones magno usui esse memineram. mutatae codicis scripturae quotienscunque nomen non adscripsi, si exceperis additum *ν ἐφελκυστικὸν* ac similia, auctor fuit Ruhnkenius. *ι* subscripta codex nulla habet nisi in *ᾤχετο* et in *ἐφετμῇς* v. 358 et *βρώμῃς* v. 394. spiritus et accentus minus plane distinguntur quam ut certa ubique, velut in versu 154 *ἡ* sit scriptum an *ἧ δὲ*, possis adfirmare. verum de his atque de interpunctione ex ipsis tabulis optime iudicabitur. in accentibus enclisique sicubi vetera codex praecepta aut servavit aut praemonstravit, haec religioni habui aut immutare aut negligere. denique cum gravissimum emendaturo hymnos et interpretaturo subsidium ex epicorum carminum imitatione vetustiorum repetendum sit, commentariolos subieci ex quibus cum Homero atque Hesiodo similitudo sermonis et dissimilitudo perspiceretur, adiutore usus Augusto Guttmanno qui de

critica hymnorum Homericorum historia diligenter commentatus propediem in hac litterarum universitate doctoris honores merebit. multifariam autem adaugeri posse hos commentariolos et corrigi in propatulo est, nos enim quae vel editores, in primis Ruhnkenius et Vossius, vel in dissertationibus Regimonti et Lipsiae nuper editis Fietkavius et Windischius suppeditaverant, collegimus nostraque adiecimus hoc consilio modoque, ut in quo momenti aliquid videretur inesse Homericum exemplum nullum praetermitteremus, complura vero si Homerus exempla daret, non adponeremus nisi unum. asterisco notavi vocabula eadem qua in hymno versus sede collocata. uncis circumdata cum apud Homerum non inveniantur, et qui primus eis praeter hymni poetam usus sit explorare studui, et Homerica si qua formae aut significationis rationem haberent eandem adscripsi. uncinata simul typorumque intervallis diducta omnino non reperiri alibi videntur.

Scribebam Grypiswaldiae mense novembri anni MDCCCLXVIII.

ΥΜΝΟΙ ΕΙΣ ΤΗΝ ΔΗΜΗΤΡΑ

Δήμητρ' ἠύκομον, σεμνὴν θεὸν ἄρχομ' ἀείδειν,
αὐτὴν ἠδὲ θύγατρα τανύσφυρον ἣν Ἀιδωνεὺς
ἥρπαξεν, δῶκεν δὲ βαρύκτυπος εὐρύοπα Ζεύς,
νόσφιν Δήμητρος χρυσαόρου ἀγλαοκάρπου
παίζουσαν κούρῃσι σὺν Ὠκεανοῦ βαθυκόλποις
ἄνθεά τ' αἰνυμένην ῥόδα καὶ κρόκον ἠδ' ἴα καλὰ
λειμῶν' ἂμ μαλακὸν καὶ ἀγαλλίδας ἠδ' ὑάκινθον

Inscriptio *τοῦ αὐτοῦ ὕμνοι εἰς τὴν δήμητραν* rubro colore facta in *M*: *Δήμητρα* correxere Meinekius (Callimachi p. 66) et Cobetus (Mnemosynae X p. 312) | 1 repetitur quasi alius ac peculiaris hymni prooemium XIII 1 ubi item *Δημήτηρ'* aut *Δημήτερ'* libri omnes et *θεὰν* pro *θεὸν* Mosquensis | *Δημήτηρ' M* | *θεὸν* Vossius: *θεὰν M* | 3 *δῶκε M* | 4 *δὴ μητρὸς* Ilgenius | *χρυσοθρόνου* Ruhnkenius, fortasse *ὡρηφόρου* conl. 54 192 492 | 7 *λειμῶν' ἂν* Ruhnkenius, *ἂμ* Hermannus: *λειμῶνα M*

---

1 *Δήμητρος καλλιπλοκάμοιο Ξ* 326 | *Ἥρης ἠυκόμοιο K* 5 | ⟨*σεμνός*⟩ *σεμνὰ θέμεθλα* Solon 4, 14 ed. Bergk *σεμνὰν θεὸν* Pind. Pyth. 3, 79 ed. Mommsen *δεινὴν θεὸν* * *Z* 380 | *ἄρχομ' ἀείδειν* * hym. 11, 1 | 2 *αὐτῶν ἠδ'* * *ἵππων B* 762 | ⟨*τανύσφυρος*⟩ *τανύσφυροι* * *Ὠκεανῖναι* Hes. th. 364 | *ἣ τέκε Περσεφόνην λευκώλενον ἣν Ἀιδωνεὺς ἥρπασεν ἧς παρὰ μητρός· ἔδωκε δὲ μητίετα Ζεύς* Hes. th. 913 | 3 ⟨*βαρύκτυπος*⟩ *Ζηνὶ βαρυκτύπῳ* * Hes. th. 388 | *εὐρύοπα Ζεύς* * *E* 265 | 4 *Ἀπόλλωνος χρυσαόρου* * *E* 509 | *μηλέαι ἀγλαόκαρποι* * *η* 115 *ἀγλαόκαρπον Νηρέος θύγατρα* Pind. Nem. 3, 54 *μῆνιν ἄειδε θεὰ Δημήτερος ἀγλαοκάρπου* Orph. fragm. 18, 5 ed. Hermann | 5 *παιζούσας* * *η* 291 | *Δαρδανίδες βαθύκολποι* * *Σ* 339 *νύμφαι βαθύκολποι* * hym. Ven. 258 | 6 *χεῖράς τ' αἰνύμεναι* * *χ* 500 | *τῶν ἣ μὲν νάρκισσον εὔπνοον ἣ δ' ὑάκινθον ἣ δ' ἴον ἣ δ' ἕρπυλλον ἀπαίνυτο* Moschus 1, 65 ed. Ahrens | ⟨*ῥόδον*⟩ *ῥοδοδάκτυλος A* 477 | *κρόκον ἠδ'* * *Ξ* 348 | *ἴου ε* 72 | 7 *λειμῶνες μαλακοί ε* 72 *ἐν μαλακῷ λειμῶνι* Hes. th. 279 | ⟨*ἀγαλλίς*⟩ *ἀγαλλίδι ἠδ' ὑακίνθῳ* * legebatur in Nicandreis apud Athenaeum XV p. 683e ubi *ἀγαλλιὰς ἠθ'* Otto Schneiderus | *ἠδ' ὑάκινθον*

νάρκισσόν θ᾽ ὃν ἔφυσε δόλον καλυκώπιδι κούρῃ
Γαῖα Διὸς βουλῇσι χαριζομένη πολυδέκτῃ
θαυμαστὸν γανόωντα, σέβας δέ τε πᾶσιν ἰδέσθαι
ἀθανάτοις τε θεοῖς ἠδὲ θνητοῖς ἀνθρώποις,
τοῦ καὶ ἀπὸ ῥίζης ἑκατὸν κάρα ἐξεπεφύκει,
κηώδει δ᾽ ὀδμῇ πᾶς τ᾽ οὐρανὸς εὐρὺς ὕπερθε
γαῖά τε πᾶσ᾽ ἐγέλασσε καὶ ἁλμυρὸν οἶδμα θαλάσσης.
ἣ δ᾽ ἄρα θαμβήσασ᾽ ὠρέξατο χερσὶν ἅμ᾽ ἄμφω
καλὸν ἄθυρμα λαβεῖν· χάνε δὲ χθὼν εὐρυάγυια
Νύσιον ἂμ πεδίον, τῇ ὄρουσεν ἄναξ πολυδέγμων·

---

8 Pausanias IX 31, 9 *νάρκισσον ἄνθος ἡ γῆ καὶ πρότερον ἔφυεν εἰ τοῖς Πάμφω τεκμαίρεσθαι χρή τι ἡμᾶς ἔπεσι· γεγονὼς γὰρ πολλοῖς πρότερον ἔτεσιν ἢ Νάρκισσος ὁ Θεσπιεὺς Κόρην τὴν Δήμητρός φησιν ἁρπασθῆναι παίζουσαν καὶ ἄνθη συλλέγουσαν, ἁρπασθῆναι δὲ οὐκ ἴοις ἀπατηθεῖσαν ἀλλὰ ναρκίσσοις* | *ἔφυσε* Ilgenius: *φῦσε M* | *καλικώπιδι M* | 10 *δέ τε* Wyttenbachius: *τότε M.* *δ᾽ ὅγε* Matthiaeus | 11 *ἠδὲ* correctum ex *ἰδὲ M.* non melius *θεοῖσιν ἰδὲ* | 12 *ἀπὸ ῥίζης M* | *ἑκατόν γε κάρην᾽ ἐπεφύκει* Vossius | 13 *κῶδιςτ᾽. ὀδμῇ M. κυδιόωντ᾽* Ignarra *κωδείας τ᾽* Mitscherlichius | *πᾶς δ᾽ οὐρανὸς M* | *ὕπερθεν M* | 14 *γαῖα τε M* | *ἐγέλασε M* | 15 *ἡ M* | *θαμβήσασα M* | *ἀμφοῖν* Cobetus | 17 *μέσσατον* uel *νείατον* Prellerus | *ἀμπεδίον M*

---

* *Ξ* 348 | cf. infra 426 | 8 ⟨*νάρκισσος*⟩ *νάρκισσος μεγάλαιν θεαῖν ἀρχαῖον στεφάνωμα* Soph. Oed. Col. 683 *νάρκησε* Hom. | *νάρκισσόν θ᾽ ὃν ἔφυσεν* * infra 428 | *ὅν ποτ᾽ ἐς ἀκρόπολιν δόλον ἤγαγε δῖος Ὀδυσσεύς θ* 494 | ⟨*καλυκῶπις*⟩ *Νύμφης καλυκώπιδος* hym. Ven. 284 *καλυκώπιδα κούρην** hym. Orph. 79, 2 *ἑλικώπιδα κούρην** *Α* 98 | 9 *Διὸς βουλῇσι* * *Ν* 524 | *χαριζομένη* * *α* 140 | ⟨*πολυδέκτης*⟩ Cornutus de n. d. 103 *πολυβούτης* Hom. | 10 ⟨*θαυμαστός*⟩ Pind. Pyth. 2, 47 *θαυμάσιος θαυματός* Hes. *θαυμάζειν* Hom. | 11 *ἀθανάτων τε θεῶν** *Ε* 442 | *πάντας Δαμνᾷ ἀθανάτους ἠδὲ θνητοὺς ἀνθρώπους* * *Ξ* 198 | *θαῦμα δ᾽ ἔχ᾽ ἀθανάτους τε θεοὺς θνητούς τ᾽ ἀνθρώπους* Hes. th. 588 | 12 *τοῦ καὶ ἀπὸ** *γλώσσης Α* 249 | ⟨*κάρα*⟩ *ἐπὶ κὰρ Π* 392 *Σαννυρίων δ᾽ ἐν Γέλωτι 'ὦ βατίδες ὦ γλαύκων κάρα'* Athenaeus VII p. 286 c *κάρηνα καρήατα* Hom. | *τοῦ κέρα ἐκ κεφαλῆς ἑκκαιδεκάδωρα πεφύκει Δ* 109 | 13 *κηώδεϊ δέξατο κόλπῳ Ζ* 483 | *οὐρανὸς εὐρὺς ὕπερθε* * *Ο* 36 | 14 *γέλασσε δὲ πᾶσα περὶ χθών Τ* 362 'domus iucundo risit odore' Catullus 64, 284 | *οἴδματι* * *θύων Φ* 234 *κῦμα θαλάσσης Σ* 145 *θαλάσσης ἁλμυρὸν ὕδωρ μ* 236 *οἶδμα θαλάσσης* * in versu Hesiodeo certaminis p. 318, 14 ed. Goettling | 15 *ἣ μὲν θαμβήσασα* * *α* 360 | *ὠρέξατο χερσὶ* * *φίλησιν Ψ* 99 | *χερσὶν ἅμ᾽ ἄμφω* * [nominativus] *Η* 255 *ἄμφω* [dativus] *χερσὶν* Apollonius *Α* 1169 | 16 *τότε μοι χάνοι εὐρεῖα χθών Δ* 182 *ἀπὸ χθονὸς εὐρυοδείης* * *Π* 635 | 17 ⟨*πολυδέγμων*⟩ *ὦ πολυδέγμον* Orph. hym. 18, 11 *πολυπάμων* Hom.

[ἵπποις ἀθανάτοισι Κρόνου πολυώνυμος υἱός]
ἁρπάξας δ' ἀέκουσαν ἐπὶ χρυσέοισιν ὄχοισιν
ἦγ' ὀλοφυρομένην· ἰάχησε δ' ἄρ' ὄρθια φωνῇ
κεκλομένη πατέρα Κρονίδην ὕπατον καὶ ἄριστον.
οὐδέ τις ἀθανάτων οὐδὲ θνητῶν ἀνθρώπων
ἤκουσεν φωνῆς· οὐδ' ἀγλαόκαρποι ἐλαῖαι

εἰ μὴ Περσαίου θυγάτηρ ἀταλὰ φρονέουσα
ἄιεν ἐξ ἄντρου Ἑκάτη λιπαροκρήδεμνος
Ἠέλιός τε ἄναξ Ὑπερίονος ἀγλαὸς υἱὸς
κούρης κεκλομένης πατέρα Κρονίδην· ὃ δὲ νόσφιν
ἧστο θεῶν ἀπάνευθε πολυλλίστῳ ἐνὶ νηῷ
δέγμενος ἱερὰ καλὰ παρὰ θνητῶν ἀνθρώπων.

---

18 = 32 adscriptus olim ad 19 | 19 'ὄχεσφιν sicut 375 Homericus sermo postulat' Vossius | 20 ἄρ ὀρθία M | 21 κεκλημένη M | 21 cum 38 iungebant Schneiderus et Matthiaeus, cum 33 Lenzius | 22 οὔτε Hermannus | 23 ἀγλαόμορφοι ἑταῖραι Ruhnkenius ἀγλαόκαρπος Ἁλωάς uel Ἀμαῖα uel Ἐλευθώ uel Ἀχαία Schuetzius Mitscherlichius Vossius ἀγλαόκαρποι Ἔλειαι Ilgenius | 25 ἐξ ἄκρου Ilgenius | 26 secundi opinor poetae | ἠέλιος τ' ἄναξ ὑπερήονος M | 27 ὁδὲ M | 28 πολυκλίστω M | 29 δέχμενος Cobetus

---

18 = 32 ἵπποις ἀθανάτοισι Π 154 ἵππων ἀθανάτων * Ρ 476 | ⟨πολυώνυμος⟩ πολυώνυμον * ὕδωρ Hes. th. 785 ἐπεὶ πολυώνυμός * ἐστιν hym. Apol. 82 | 19 αἰδέομαι δ' ἀέκουσαν * υ 343 | ⟨ὄχοισιν⟩ ὑπὸ χρυσέοισιν ὄχεσφιν * infra 375 ὄχεσφιν aut ὀχέεσσιν Hom. χρύσεος ὄχος Eurip. Tro. 856 | 20 καί ῥ' ὀλοφυρομένη * Σ 72 | ⟨ἰαχέω⟩ ἰαχεῖ δ' ἔπι δάσκιος ὕλη hym. 27, 7 ἴαχε ἰάχουσα Hom. | ἐβόησα δ' ἄρ' ὄρθια φωνῇ * infra 432 ἤυσε θεὰ μέγα τε δεινόν τε Ὄρθι' Ἀχαιοῖσιν Λ 10 ἐκαλέσσατο φωνῇ * Γ 161 ὄρθια φωνῇ * Apollonius Δ 70 | 21 κεκλόμενος * Τρώεσσι Ο 353 πρῶτά σε κεκλομένῳ Soph. Oed. R. 159 | θεῶν ὕπατος καὶ ἄριστος * Τ 258 | 22 εἰ δέ τις ἀθανάτων * Ζ 128 | οὔτε θνητῶν ἀνθρώπων * ι 521 | 23 ἀγλαόκαρποι cf. ad 4. ἀγλαόκαρπος ἁλὸς σχεδόν ἐστιν ἐλαίη * Oppianus hal. IV 272 | 24 ἠΐθεοι ἀταλὰ φρονέοντες * Σ 567 | 25 Χάρις λιπαροκρήδεμνος * Σ 382 | 26 Ἀτρείδης τε ἄναξ * Α 7 | ἀγλαὸς υἱός * Β 736 | 27 cf. ad 21 | 28 ἀπάνευθε θεῶν Α 549 ἑτάρων ἄφαρ ἕζετο νόσφι λιασθείς Α 349 ἀπάνευθε * πολυκλύστῳ ἐνὶ πόντῳ ζ 204 | πολύλλιστον * δέ σ' ἱκάνω ε 445 ἐν νηοῖσι πολυλλίστοισι * hym. Apol. 347 | 29 δέγμενος * Ι 191 (γράφεται καὶ δέχμενος διὰ τοῦ χ schol. Ven.) | ἱερὰ καλὰ * λ 130 ἀλλ' ὅγε δέκτο μὲν ἱρὰ Β 420 | θνητῶν ἀνθρώπων * Α 339 | δέξεαι ἱερὰ καλὰ περικτιόνων ἀνθρώπων hym. Ap. 274

τὴν δ' ἀεκαζομένην ἦγεν Διὸς ἐννεσίῃσι
πατροκασίγνητος πολυσημάντωρ πολυδέγμων
ἵπποις ἀθανάτοισι Κρόνου πολυώνυμος υἱός.
ὄφρα μὲν οὖν γαῖάν τε καὶ οὐρανὸν ἀστερόεντα
λεῦσσε θεὰ καὶ πόντον ἀγάρροον ἰχθυόεντα,
[αὐγάς τ' ἠελίου, ἔτι δ' ἤλπετο μητέρα κεδνὴν
ὄψεσθαι καὶ φῦλα θεῶν αἰειγενετάων]
τόφρά οἱ ἐλπὶς ἔθελγε μέγαν νόον ἀχνυμένης περ

ἤχησαν δ' ὀρέων κορυφαὶ καὶ βένθεα πόντου
φωνῇ ὑπ' ἀθανάτῃ· τῆς δ' ἔκλυε πότνια μήτηρ.
ὀξὺ δέ μιν κραδίην ἄχος ἔλλαβεν, ἀμφὶ δὲ χαίταις
ἀμβροσίαις κρήδεμνα δαΐζετο χερσὶ φίλῃσι,
κυάνεον δὲ κάλυμμα κατ' ἀμφοτέρων βάλετ' ὤμων,
σεύατο δ' ὥστ' οἰωνὸς ἐπὶ τραφερήν τε καὶ ὑγρὴν

30—32 seclusit Ilgenius | 30 *τήνδ'* *M* | *ἦγε* *M* | 31 *η* in *πατροκασίγνητος* corr. ex *ο* *M* | *πολυσημάντωρ Ἀιδωνεύς* Vossius | 33 *γαῖαν τε* *M* | 34 *λεῦσε* *M* | 35 et 36 congruunt cum 37 | 35 *ἔλπετο* Homericum | 37 reiecit Mitscherlichius | *μέγαν γόον* conl. 82 aut *νόον μέγα* Mitscherlichius. male composita clausula prodit sarcinatorem | *ἀχνυμένῃ* Cobetus | lacunam post 37 Schneiderus et Hermannus statuebant | 40 *ἔλαβεν* *M* | *χαίτῃς ἀμβροσίῃς* Hermannus cf. 308 441 205 | 41 *χερσὶ* corr. ex *χερὶ* *M*

---

30 *πόλλ' ἀεκαζομένη* * *Z* 458 | *κείνης ἐννεσίῃσιν* * *E* 894 | 31 *πατροκασιγνήτοιο* * *Φ* 469 | ⟨*πολυσημάντωρ*⟩ infra 84* et 376* *σημάντωρ* *Δ* 431 *πολυκοιρανίη* *B* 204 | 32 = 18 | 33 *ὄφρα μὲν* * et in tertio versu *τόφρα* * *υ* 328 | *γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος* * *E* 769 *οὐρανὸν ἀστερόεντα* * *O* 371 | 34 *Ἑλλήσποντος ἀγάρροος* * *B* 845 | *πόντον ὀρίνετον ἰχθυόεντα* * *I* 4 | 35 *ἠελίου ἴδεν αὐγάς* *Π* 188 | *μητέρι κεδνῇ* * *κ* 8 | 36 *φῦλα θεῶν* * *O* 54 | *θεῶν αἰειγενετάων* * *B* 400 | 37 *θέλγε νόον* *M* 255 | *Διός τοι νόος μέγας* Pind. Pyth. 5, 114 | *ἀχνύμενός περ* * *X* 424 | 38 ⟨*ἠχέω*⟩ *ἠχεῖ δὲ κάρη νιφόεντος Ὀλύμπου* Hes. th. 42 *περιήχησεν* *H* 267 | *ὀρέων κορυφάς* * *M* 282 | *θαλάσσης Πάσης βένθεα* *α* 53 | 39 *τοῦ δ' ἔκλυε πότνια μήτηρ* * *A* 357 | 40 *ἄχος ὀξύ* *X* 425 *Τρῶας δ' ἄχος ἔλλαβε θυμόν* *Ξ* 475 *ἐπεί μιν ἄχος κραδίην καὶ θυμὸν ἵκανεν* *B* 171 | *ἀμφὶ δὲ χαῖται* * *Z* 509 | 41 *ἀμβρόσιαι* * *δ' ἄρα χαῖται* *A* 329 | *χερσὶ φίλῃσιν* * *Ψ* 99 | *φίλῃσι δὲ χερσὶ κόμην ᾔσχυνε δαΐζων* *Σ* 27 | 42 *κάλυμμ' ἕλε δῖα θεάων Κυάνεον* *Ω* 93 | 43 *σεύατ'* * *ἔπειτ' ἐπὶ κῦμα* *ε* 52 | *ἐπὶ τραφερήν τε καὶ ὑγρήν* * *Ξ* 308

μαιομένη· τῇ δ᾽ οὔτις ἐτήτυμα μυθήσασθαι
ἤθελεν οὔτε θεῶν οὔτε θνητῶν ἀνθρώπων.
[οὔτ᾽ οἰωνῶν τις τῇ ἐτήτυμος ἄγγελος ἦλθεν]
ἐννῆμαρ μὲν ἔπειτα κατὰ χθόνα πότνια Δηὼ
στρωφᾶτ᾽ αἰθομένας δαΐδας μετὰ χερσὶν ἔχουσα
οὐδέ ποτ᾽ ἀμβροσίης καὶ νέκταρος ἡδυπότοιο
πάσσατ᾽ ἀκηχεμένη οὐδὲ χρόα βάλλετο λουτροῖς.
ἀλλ᾽ ὅτε δὴ δεκάτη οἱ ἐπήλυθε φαινολὶς ἠώς,
ἤντετό οἱ Ἑκάτη σέλας ἐν χείρεσσιν ἔχουσα
καί ῥά οἱ ἀγγελέουσα ἔπος φάτο φώνησέν τε.
‘πότνια Δήμητερ, ὡρηφόρε ἀγλαόδωρε,
τίς θεῶν οὐρανίων ἠὲ θνητῶν ἀνθρώπων

---

46 olim prioribus par post conexus et inmutatus | *οὐδέ οἱ οἰωνῶν τις* Hermannus *οὔτε τις οἰωνῶν οἱ* Brunckius *οὔτε τις οἰωνῶν τῇ* Hermannus senex | 47 *χθόνια M ι* puncto notata | ueterem scriptorem *δῖα θεάων* posuisse Hermannus credebat | *Δηῷ* ueteres alii | 48 *στροφᾶτ᾽ M* | 49 *ἧδε πότοιο M* sed ut spiritum in *ῆ* scriba non uideatur a primo posuisse | 50 *πᾶσατ᾽ M. ἄσατ᾽* Mitscherlichius conl. *T* 306, *ἦλθε πότοιο ἄσσον* Lenzius conl. Hes. theog. 796 | *βάπτετο* Ignarra *θάλπετο* Mitscherlichius *ἄταλλε λοετροῖς* Ilgenius | 51 *φαινόλη M* | 52 *δάος* Matthiaeus | 53 *καὶ M* | *ἀγγέλλουσα* Ruhnkenius primo *ἄγχι θέουσα* Matthiaeus | 54 *Δήμητερ* Ilgenius: *δημήτηρ M* | *ὠριφόρε M* | 55 ‘Homerus dixisset *τίς δὲ θεῶν μακάρων*’ Vossius

---

44 *μαιομένη* κευθμῶνας ν* 367 | *ἐτήτυμα μυθησαίμην* * Hes. op. 10 | 45 *ἤδεεν οὔτε θεῶν οὔτε θνητῶν ἀνθρώπων Σ* 404 | 46 *οὐ γάρ οἵ τις ἐτήτυμος ἄγγελος ἐλθών* X* 438 | *πέμψον δ᾽ οἰωνὸν ταχὺν ἄγγελον Ω* 310 | 47 *ἐννῆμαρ μὲν* * *A* 53 | *πότνια* Ἥρη μήτηρ* similia Hom. | ⟨*Δηώ*⟩ Soph. Antig. 1120 cf. infra 211 492 | 48 cf. 61 | *ἔστασαν αἰθομένας δαΐδας μετὰ χερσὶν ἔχοντες η* 101 | 49 *ἀμβροσίης καὶ νέκταρος* ι* 359 | *οἴνοιο παλαιοῦ ἡδυπότοιο* β* 340 | 50 *χρόα νίζετο ζ* 224 | ⟨*λουτρόν*⟩ *γυναικείῳ λουτρῷ* Hes. op. 753 *λοετρῶν Σ* 489 | 51 *δεκάτη μοι ἐπήλυθε νύξ I* 474 | *ἐπερχομένη χρυσόθρονος* Aurora *χ* 198 | ⟨*φαινολίς*⟩ *Ϝέσπερε πάντα φέρεις ὅσα φαίνολις ἐσκέδασ᾽ αὔως* Sappho 95 | 52 *δάος μετὰ χερσὶν ἔχουσαι* δ* 300 *ἐν χερσὶν ἔχοντες* * *Σ* 551 | 53 *ἔπος φάτο φώνησέν τε* * *δ* 370 | 54 cf. infra 192 et 492 | ⟨*ὡρηφόρος*⟩ *ὥρῃ* et *φέροι δέ κεν ὥρια πάντα* tum *βουληφόρος* aliaque cum *-φόρος* composita Hom. | ⟨*ἀγλαόδωρος*⟩ *καρπὸν Ἐλευσινίης Δημήτερος ἀγλαοδώρου* Agallias in versu post *Σ* 551 interpolato *ἀγλαόκαρπος ἠπιόδωρος ζείδωρος* Hom. | 55 ⟨*οὐράνιος*⟩ Pindarus *τίς οὐρανιώνων E* 373 *θεοὶ οὐρανίωνες A* 570 *ἢ θεῶν τῶν οὐρανίων* Eurip. El. 1234 | *πρός τε θεῶν μακάρων πρός τε θνητῶν ἀνθρώπων A* 339

ἥρπασε Περσεφόνην καὶ σὸν φίλον ἤκαχε θυμόν;
φωνῆς μὲν γὰρ ἄκουσ' ἀτὰρ οὐκ ἴδον ὀφθαλμοῖσιν
ὅς τις ἔην· σοὶ δ' ὦκα λέγω νημερτέα πάντα'

ὣς ἄρ' ἔφη Ἑκάτη· τὴν δ' οὐκ ἠμείβετο μύθῳ
Ῥείης ἠυκόμου θυγάτηρ, ἀλλ' ὦκα σὺν αὐτῇ
ἤιξ' αἰθομένας δαΐδας μετὰ χερσὶν ἔχουσα.
Ἠέλιον δ' ἵκοντο θεῶν σκόπον ἠδὲ καὶ ἀνδρῶν,
στὰν δ' ἵππων προπάροιθε, καὶ εἴρετο δῖα θεάων.
'Ἠέλι' αἴδεσσαί με θέας ὕπερ, εἴ ποτε δή σευ
ἢ ἔπει ἢ ἔργῳ κραδίην καὶ θυμὸν ἴηνα·
κούρην τὴν ἔτεκον, γλυκερὸν θάλος, εἴδεϊ κυδρήν,
τῆς ἀδινὴν ὄπ' ἄκουσα δι' αἰθέρος ἀτρυγέτοιο
ὥστε βιαζομένης, ἀτὰρ οὐκ ἴδον ὀφθαλμοῖσιν.
ἀλλὰ σὺ γὰρ δὴ πᾶσαν ἐπὶ χθόνα καὶ κατὰ πόντον

56 Pausanias VIII 37, 9 ἐπίκλησις ἐς τοὺς πολλούς ἐστιν αὐτῇ Δέσποινα καθάπερ καὶ τὴν ἐκ Διὸς Κόρην ἐπονομάζουσιν, ἰδίᾳ δέ ἐστιν ὄνομα Περσεφόνη καθὰ Ὅμηρος καὶ ἔτι πρότερον Πάμφως ἐποίησαν | 57 γὰρ μὲν ἄκουσ' Wassenbergius, μὲν γὰρ Vossius: γὰρ ἤκουσ' M. γὰρ πυθόμην Hermannus | εἶδον M | 58 σοί δ' M | ρ 561 αἶψά κ' ἐγὼ comparando uiam monstrauit opinor Ilgenius. ὦκα λέγοι νημερτέα πάντα Ἠέλιος cum unius uersus supplementis Hermannus αὖ κε in Hermannianis Vossius ὦνα (id ut esset ὦ ἄνασσα) λέγω Mitscherlichius | 63 στάν M | 64 θεὰν θεὸς Peerlkampius conl. hym. Merc. 154 μ' ἐλέησόν τ' Matthiaeus θεᾶς Vossius θέης Hermannus Θέας Ilgenius Ῥέας et deinde ἴηνε Ignarra | 66 'κούρην ἣν inuenitur Π 56 Σ 444' Hermannus | 67 ἀδινὴν M | 68 εἶδον M

56 ⟨Περσεφόνη⟩ Περσεφόνην* Hes. th. 913 Περσεφόνεια Ι 457 | θυμὸν ἀκηχέμεναι Σ 29 | 57 cf. 68 | ἴδον ὀφθαλμοῖσιν* Γ 169 | 58 αἶψά κ' ἐγὼ νημερτέα πάντ' ἐνέποιμι ρ 561 | 59 ὣς ἄρ' ἔφη * Α 584 | ἀμείβετο μύθῳ * Ω 200 | 60 ἠύκομος * Ῥεία Hes. th. 625 | θυγάτηρ * μεγάλοιο Κρόνοιο Ε 721 | 61 cf. 48 | ἤιξεν * Φ 247 | 62 ἠέλιον * Σ 239 Ἀσωπὸν δ' ἵκοντο * [illegible] 383 | Ἠέλιός θ' ὃς πάντ' ἐφορᾷς καὶ πάντ' ἐπακούεις Γ 277 | 63 στῆ δ' ἵππων προπάροιθεν * Ω 286 | δῖα θεάων * Ξ 184 | 64 αἴδεσσαι Ι 640 σὺ δέ μ' αἴδεο καί μ' ἐλέησον Φ 74 | εἴ ποτε δή τι ἢ ἔπει ὤνησας κραδίην Διὸς ἠὲ καὶ ἔργῳ Α 395 | 65 κραδίην καὶ θυμὸν * Β 171 τά κε θυμὸν ἰήνῃ * Ω 119 κραδίη καὶ θυμὸς * tum ἰάνθη * δ 548 et 549 | 66 φίλον θάλος * ὃν τέκον αὐτή Χ 87 | 67 ὄπ' ἄκουσα * Η 53 | δι' αἰθέρος ἀτρυγέτοιο * Ρ 425 | 68 ὥστε * μοι ὑβρίζοντες α 227 | ἀτὰρ οὐκ ἴδον ὀφθαλμοῖσιν * supra 57 | 69 ἐπὶ χθόνα δῖαν Ω 532 | κατὰ πόντον Δ 276

αἰθέρος ἐκ δίης καταδέρκεαι ἀκτίνεσσι,
νημερτέως μοι ἔνισπε φίλον τέκος εἴ που ὄπωπας
[ὅς τις νόσφιν ἐμεῖο λαβὼν ἀέκουσαν ἀνάγκῃ
οἴχεται ἠὲ θεῶν ἢ καὶ θνητῶν ἀνθρώπων.']
ὣς φάτο· τὴν δ' Ὑπεριονίδης ἠμείβετο μύθῳ.
'Ῥείης ἠυκόμου θύγατερ Δήμητερ ἄνασσα,
εἰδήσεις· δὴ γὰρ μέγα σ' ἅζομαι ἠδ' ἐλεαίρω
ἀχνυμένην περὶ παιδὶ τανυσφύρῳ· οὐδέ τις ἄλλος
αἴτιος ἀθανάτων, εἰ μὴ νεφεληγερέτα Ζεὺς
ὅς μιν ἔδωκ' Ἀίδῃ θαλερὴν κεκλῆσθαι ἄκοιτιν
αὐτοκασιγνήτῳ· ὃ δ' ὑπὸ ζόφον ἠερόεντα
ἁρπάξας ἵπποισιν ἄγεν μεγάλα ἰάχουσαν.
ἀλλὰ θεὰ κατάπαυε μέγαν [γόον οὐδέ τί σε χρὴ
μὰψ αὔτως ἄπλητον ἔχειν] χόλον· οὔ τοι ἀεικὴς
γαμβρὸς ἐν ἀθανάτοις πολυσημάντωρ Ἀιδωνεύς,

---

70 *καταδέρκεται M* | 71 *ὄπωπεν M* | 72 et 73 congruunt cum superioris uersus clausula | 72 *ἐμοῖο M* | 74 *τήνδ' M* | 75 *Ξ* 203 *'Ρείας* Aristarchus et Aristophanes cf. 442 | *θύγατερ* Schneidewinus ut uidetur: *θυγάτηρ M* | 76 'est qui *σ' ἅζομαι* scribat' Ruhnkenius: *μέγα ἅζομαι M. γάρ σε μέγ' ἅζομαι* Vossius | 77 *οὐδέ τοι* Lenzius | 78 *νεφεληγερετά M* | 80 *ὅδ' M* | 81 *ἵπποις ἄγαγεν* Cobetus | 82 *μέγαν χόλον* Hermannus | inter *μέγαν* et *χόλον* quae intercedunt insiticia iudicauit Schneidewinus | *οὐδέ τι σε M* | 83 *αὔτως* Hermannus: *αὖτως M* | *ἄπληστον* Hermannus *ἀτέλεστον* Ruhnkenius tentauit *ἄλληκτον* Mitscherlichius conl. *I* 636 | *ὄχειν* potius quam *ἔχειν M* | *οὔτοι* coniunctim ante Vossium

---

70 *αἰθέρος ἐκ δίης* Π* 365 | *καταδέρκεται ἀκτίνεσσιν* λ* 16 (*ἐπιδέρκεται* Zenodotus) | 71 *νημερτέως* τὸν μῦθον ἐνισπήσω ε* 98 *νημερτές μοι ἔνισπε* δ* 642 | *φίλον τέκος* Γ* 162 | *εἴ που ὄπωπας* γ* 93 | 72 *νόσφιν ἐμεῖο Φ* 135 | *ἀέκουσαν ἀνάγκῃ** infra 124 *ἀέκουσαν* β* 130 *ἀνάγκῃ* Ξ* 128 | 73 *θνητῶν ἀνθρώπων* Υ* 204 | 74 *ὣς φάτο* Α* 188 | 74 et 75 cf. 59 et 60 | 75 *Δήμητρος καλλιπλοκάμοιο ἀνάσσης* Ξ* 326 | 76 *εἰδήσεις* η* 327 | *θεὸν μέγαν ἅζετο* Ε* 434 *μέγα κήδεται ἠδ' ἐλεαίρει* Β* 27 | 77 *ἀχνυμένη* λ* 388 | *οὐδέ τις ἄλλος Αἴτιος* λ* 558 | 78 *ἄλλον γ' εἰ μὴ ρ* 383 | *νεφεληγερέτα Ζεύς* Α* 511 | 79 *θαλερὴν παράκοιτιν Γ* 53 *θαλερὴν ποιήσατ' ἄκοιτιν** Hes. th. 921 *κεκλῆσθαι ἄκοιτιν* Ξ* 268 | 80 *αὐτοκασίγνητος* Β* 706 | *ὑπὸ ζόφον ἠερόεντα* Ψ* 51 | 81 *ἁρπάξασα φέρεν κ* 48 | *μεγάλα ἰάχοντα* ι* 392 | 82 *κατέπαυσα* θεῷ χόλον δ* 583 cf. *τ* 67 | *οὐδέ τί σε χρὴ* Ι* 496 | 83 *μὰψ αὔτως* ἀτέλεστον π* 111 | *⟨ἄπλητος⟩ ἄπλητον κοτέουσα* Hes. th. 315 | *οὔ τοι ἀεικές* Ι* 70 | 84 *γαμβρὸς* Ι* 142 | *ἀθανάτους πολυσημάντωρ Ἀιδωνεὺς** infra 376 cf. 31

αὐτοκασίγνητος καὶ ὁμόσπορος· ἀμφὶ δὲ τιμῇ
ἔλλαχεν ὡς τὰ πρῶτα διάτριχα δασμὸς ἐτύχθη
. . . .
τοῖς μεταναιετάει, τῶν ἔλλαχε κοίρανος εἶναι.'
ὣς εἰπὼν ἵπποισιν ἐκέκλετο· τοὶ δ' ὑπ' ὀμοκλῆς
ῥίμφα φέρον θόον ἅρμα τανύπτεροι ὥστ' οἰωνοί.
τὴν δ' ἄχος αἰνότερον καὶ κύντερον ἵκετο θυμόν·
χωσαμένη δὴ ἔπειτα κελαινεφέι Κρονίωνι
νοσφισθεῖσα θεῶν ἀγορὴν καὶ μακρὸν Ὄλυμπον
ᾤχετ' ἐπ' ἀνθρώπων πόλιας καὶ πίονα ἔργα
εἶδος ἀμαλδύνουσα πολὺν χρόνον· οὐδέ τις ἀνδρῶν
εἰσορόων γίγνωσκε βαθυζώνων τε γυναικῶν,
πρίν γ' ὅτε δὴ Κελεοῖο δαΐφρονος ἵκετο δῶμα,

---

85 *αὐτοκασίγνητος πατρὸς Διὸς* Schneiderus ex uersu 364 | *τιμῇ* Schneidewinus: *τιμὴν M. τιμῆς* Hermannus apud Frankium | 86 *ταπρῶτα M* | *διατριχὰ M* | periisse uersum Matthiaeus uidit. supple *πᾶσι καταφθιμένοισιν ἀνασσέμεν εἰν Ἀΐδαο* | 87 post 81 ponebat Brunckius delebat Hermannus apud Ilgenium | *μέτα ναιετάει* Ilgenius *μεταναιετάει* Vossius: *μέτα ναίεται M. μέτα ναιετάειν ὧν* Valckenarius | *τῶν κοίρανος εὔχεται εἶναι* aut *ἐνέροις τῶν κοίρανός ἐστιν* Mitscherlichius | *ἔλλαχεν* corr. ex *ἔλαχεν M* | 88 *τοί δ' M* | 89 *ῥίμφ' ἔφερον* Ruhnkenius ut apud Homerum et Hesiodum | 90 *τήνδ' M* | 91 *δὴ ἔπειτα* Hermannus: *δ' ἤπειτα M. δή 'πειτα* Vossius *δὲ ἔπειτα* Ilgenius | 92 *νόσφιν ἰοῦσα θεῶν ἀγορῆς κατὰ* homo a Ruhnkenio laudatus | 95 *γίνωσκε M*

---

85 *αὐτοκασίγνητος* B* 706 cf. supra 80 | ⟨ὁμόσπορος⟩ ὁμόσπορον *ἔθνος* Pind. Nem. 5, 43 ὁμογάστριος Hom. | *ἀμφὶ δὲ τίμῃ** hym. Merc. 172 | 86 *ὡς τὸ πρῶτον ἀπ' ἀρχῆς ἔπλετο δασμός* Hes. th. 425 | *τρίχθα δὲ πάντα δέδασται O* 189 *διὰ τρίχα* κοσμηθέντες B* 655 *δασμὸς* ἵκηται A* 166 | 87 *Ἀίδης ἐνέροισιν ἀνάσσων O* 188 | *κοίρανος εἶναι* σ* 106 | 88 *ὣς εἰπὼν ἵπποισιν ἐκέκλετο* Θ* 184 | *σμερδαλέον ἵπποισιν ἐκέκλετο· τοὶ δ' ὑπ' ὀμοκλῆς ῥίμφ' ἔφερον θοὸν ἅρμα* Hes. scut. 341 | 89 *ῥίμφ' ἔφερον θοὸν ἅρμα* Λ* 533 | *οἰωνοῖσι τανυπτερύγεσσι M* 237 *αἰετὸν ὦρσε τανύπτερον** Hes. th. 523 *οἰωνὸν δ' ἐνόει τανυσίπτερον* hym. Merc. 213 | 90 *ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει Θ* 147 | *αἰνότερον καὶ κύντερον* λ* 427 | *ἵκετο θυμὸν* Λ* 88 | 91 *κελαινεφέι Κρονίωνι* A* 397 | 92 *νοσφισθεὶς* λ* 73 *νοσφισθεῖσα* γέρα προτέρων* Pythiae versus de Cerere apud Pausaniam VIII 42, 6 cf. ad 158 | *θεῶν ἀγορὴν* Θ* 2 | *καὶ μακρὸν Ὄλυμπον* E* 398 | 93 *πόλιας καὶ πίονας* ἀγρούς ϑ* 560 | *ἀνδρῶν πίονα ἔργα* M* 283 | 94 *τεῖχος ἀμαλδύνας* M* 32 | *πολὺν χρόνον* M* 9 | 95 *βαθυζώνους τε γυναῖκας* I* 594 | 96 *πρίν γ' ὅτε* ν* 322 *πρίν γ' ὅτε δὴ** hym. Ap. 49 | *Ἀλκινόοιο δαΐφρονος ἵκετο δῶμα* ϑ* 13

ὅς τότ' Ἐλευσῖνος θυοέσσης κοίρανος ἦεν

ἕζετο δ' ἐγγὺς ὁδοῖο φίλον τετιημένη ἦτορ
[Παρθενίῳ φρέατι ὅθεν ὑδρεύοντο πολῖται]
ἐν σκιῇ, αὐτὰρ ὕπερθε πεφύκει θάμνος ἐλαίης,
γρηὶ παλαιγενέι ἐναλίγκιος, ἥ τε τόκοιο
εἴργηται δώρων τε φιλοστεφάνου Ἀφροδίτης,
οἷαί τε τροφοί εἰσι θεμιστοπόλων βασιλήων
παίδων καὶ ταμίαι κατὰ δώματα ἠχήεντα.
τὴν δὲ ἴδον Κελεοῖο Ἐλευσινίδαο θύγατρες
ἐρχόμεναι μεθ' ὕδωρ εὐήρυτον, ὄφρα φέροιεν

---

97 τότε λευσῖνος M | 98 τετιημένος M | post 98 intercidisse uersum Hermannus statuit sic exeuntem ἐπὶ κρήνῃ μελανύδρῳ | 99 utique prior pars nouicia. Pausanias I 39, 1 ἐξ Ἐλευσῖνος πρὸς Μέγαρα ἐρχομένοις φρέαρ ἐστὶν Ἄνθιον (Παρθένιον Ruhnkenius) καλούμενον· ἐποίησε δὲ Πάμφως ἐπὶ τούτῳ τῷ φρέατι καθῆσθαι Δήμητρα μετὰ τὴν ἁρπαγὴν τῆς παιδὸς γραΐ εἰκασμένην, ἐντεῦθεν δὲ αὐτὴν ἅτε γυναῖκα γραῖαν ὑπὸ τῶν θυγατέρων τῶν Κελεοῦ κομισθῆναι παρὰ τὴν μητέρα καί οἱ τὴν Μετάνειραν οὕτω πιστεῦσαι τοῦ παιδὸς τὴν ἀνατροφήν. Apollodorus I 5, 1 εἰκασθεῖσα δὲ γραΐ ἧκεν εἰς Ἐλευσῖνα καὶ πρῶτον μὲν ἐπὶ τὴν ἀπ' ἐκείνης κληθεῖσαν Ἀγέλαστον ἐκάθισε πέτραν παρὰ τὸ Καλλίχορον φρέαρ καλούμενον· ἔπειτα πρὸς Κελεὸν ἐλθοῦσα τὸν βασιλεύοντα τότε Ἐλευσινίων ἔνδον οὐσῶν γυναικῶν καὶ λεγουσῶν τούτων παρ' αὐτὰς καθέζεσθαι γραῖά τις Ἰάμβη σκώψασα τὴν θεὸν ἐποίησε μειδιάσαι cf. 272 | πὰρ θείῳ φρέατι Wolfius θείῳ πὰρ φρέατι Hermannus φρειάτι Παρθενίῳ Porsonus | 101 παλαιγενέη M | 103 οἷαιτε τροφοὶ εἰσὶ M. οἷαι δὴ Wolfius | fuitne θεμιστοπόλοις βασιλεῦσι an 104 ab alio adiectus?

---

97 Ἐλευσῖνος θυοέσσης* infra 490 cf. 318 θυόεν* νέφος Ο 153 | 98 ἕζετο* Ψ 235 | ἐγγὺς ὁδοῖο* ν 268 | φίλον τετιημένη ἦτορ* δ 804 | 99 ὅθεν ὑδρεύοντο πολῖται* η 131 et ρ 206 | 100 ἐν σκιῇ* ἑζόμενον Hes. op. 593 | αὐτὰρ ὕπερθεν Β 218 | θάμνος ἔφυ τανύφυλλος ἐλαίης ψ 190 | 101 γρηὶ* δέ μιν εἰκυῖα παλαιγενέι Γ 386 | ὄρνιθι λιγυρῇ ἐναλίγκιος* Ξ 290 | οὐ πρὶν εἰδυῖα τόκοιο* Ρ 5 | 102 δῶρ' Ἀφροδίτης* Γ 54 | ⟨φιλοστέφανος⟩ ἐυστεφάνου* τ' Ἀφροδίτης θ 267 | Κυπρογενοῦς δῶρον ἰοστεφάνου Theognis 1304 et 1332 | 103 οἱοί τε ἀνάκτων παῖδες ἔασιν ν 223 | ⟨θεμιστοπόλος⟩ θεμιστοπόλοι βασιλῆες* Hes. fr. 32, 1 et 3 cf. infra 215* et 473* δικασπόλοι Hom. | 104 παίδων* Ο 663 | cf. β 345 et 361 | κὰδ δώματα ἠχήεντα* δ 72 | 105 τὴν δὲ ἴδε* Σ 382 | Δήμητρός τοι Ἐλευσινίης* ἱερὴ ὄψ Antimachus apud Strabonem VIII p. 364 cf. infra 266 | 106 ταὶ δὲ μεθ' ὕδωρ Ἔρχεσθε κρήνηνδε υ 153 | ὕδωρ προτὶ ἄστυ φέρεσκον κ 108 | ⟨εὐήρυτος⟩ κοτυλήρυτον ἔρρεεν αἷμα Ψ 34

κάλπισι χαλκείῃσι φίλα πρὸς δώματα πατρὸς,
τέσσαρες ὥστε θεαί, κουρήιον ἄνθος ἔχουσαι,
Καλλιδίκη καὶ Κλεισιδίκη Δημώ τ' ἐρόεσσα
Καλλιθόη θ' ἣ τῶν προγενεστάτη ἦεν ἁπασῶν·
οὐδ' ἔγνων· χαλεποὶ δὲ θεοὶ θνητοῖσιν ὁρᾶσθαι.
ἀγχοῦ δ' ἱστάμεναι ἔπεα πτερόεντα προσηύδων.
'τίς, πόθεν ἐσσὶ γρηῦ, παλαιγενέων ἀνθρώπων;
τίπτε δὲ νόσφι πόληος ἀπέστιχες οὐδὲ δόμοισι
πίλνασαι; ἔνθα γυναῖκες ἀνὰ μέγαρα σκιόεντα
τηλίκαι ὡς σύ περ ὧδε καὶ ὁπλότεραι γεγάασιν,
αἵ κέ σε φίλωνται ἠμὲν ἔπει ἠδὲ καὶ ἔργῳ.'
ὣς ἔφαν· ἣ δ' ἐπέεσσιν ἀμείβετο πότνα θεάων.

---

107 κάλπῃσι *M* | φίλον Matthiaeus ex τ 458 ubi item φίλα pro φίλον codex Vindobonensis habet | 108 Pausanias I 38, 3 τὰ ἱερὰ τοῖν θεοῖν Εὔμολπος καὶ αἱ θυγατέρες δρῶσιν αἱ Κελεοῦ, καλοῦσι δὲ σφᾶς Πάμφως τε κατὰ ταὐτὰ καὶ Ὅμηρος Διογένειαν καὶ Παμμερόπην καὶ τρίτην Σαισάραν cf. 285 ss. | 'Homerum credas scripsisse τρεῖς ὡσεί τε θεαί' Hermannus 108—110 interpolatori tribuens | 109 Κλεισιδίκη nominis posterior pars Ruhnkenio suspecta | 110 tollebat Prellerus | ἢ σφέων aut ἢ δὴ aut ἣ δὲ προφερεστάτη legebatur in Hesiodi theog. 79 | προγενεστέρη Vossius conl. η 156 et θ 128 | ἁπασέων Wolfius | 111 ἔγνον Cobetus | 112 δ' omisit *M* | 113 γρηῦ *M* | lege χαμαιγενέων | 114 πόλιος *M* | 115 πίλνασαι Vossius: πιλνᾶς *M*. πιλνᾷ Hermannus conl. δαμνᾷ Ξ 199 | 117 αἵ κε σε *M* | φίλωνται Vossius: φίλονται *M*. φίλαιντο Ilgenius | 118 ἔφαν Vossius: ἔφαθ' *M*. | ἦδ' *M*. ἡ δὲ ἔπεσσιν Hoffmannus | alibi in hoc carmine πότνια Δηώ aut δῖα θεάων

---

107 κάλπιν ἐχούσῃ η 20 | πρὸς δώματα πατρὸς* δ 657 φίλον πρὸς δώματα πατρὸς* τ 458 | 108 ἔχει ἥβης ἄνθος *N* 484 | ⟨κουρήιος⟩ κούριον ἄνθος in versu post *N* 433 interpolato cf. Orph. argon. 1347 | 109 Λειαγόρη τε καὶ Εὐαγόρη καὶ Λαομέδεια Hes. th. 257 cf. ibidem 353 | ⟨ἐρόεις⟩ Ἁλίη τ' ἐρόεσσα* Hes. th. 245 ἐρατὸς ἐρατεινὸς Hom. | 110 ἀνδρῶν προγενέστερος ἦεν η 156 πάντων προφερέστατος ἦεν θ 128 ἣ οἱ γαιάων πολὺ φιλτάτη ἔσκεν ἁπασέων θ 284 | Καλλιόπη θ'· ἣ δὲ προφερεστάτη ἐστὶν ἁπασέων Hes. th. 79 | 111 χαλεποὶ δὲ θεοὶ* φαίνεσθαι ἐναργεῖς *Υ* 131 | χαλεπὸν δὲ τάδε ζωοῖσιν ὁρᾶσθαι* λ 156 | 112 ἀγχοῦ δ' ἱσταμένη ἔπεα πτερόεντα προσηύδα Δ 92 | 113 τίς πόθεν* εἰς ἀνδρῶν Φ 150 | γρηῦ * παλαιγενὲς χ 395 | ⟨χαμαιγενής⟩ χαμαιγενέων ἀνθρώπων* Hes. th. 879 hym. Ven. 108 cf. infra 352 χαμαὶ ἐρχομένων ἀνθρώπων * Hom. | 114 τίπτε δέ* σε χρειὼ δεῦρ' ἤγαγε δ 312 | νόσφι πόληος α 185 | ἀνὰ νῆσον ἀπέστιχε* μ 143 | 115 ἀνὰ μέγαρα σκιόεντα* α 365 | 116 τηλίκου ὥσ*περ ἐγὼν Ω 487 | ὡς σύ περ ὧδε Ω 398 | οἵπερ ἐμεῖο Ὁπλότεροι γεγάασι Δ 324 | 117 cf. ad 64 | 118 ὣς ἔφαν* κ 422 | ἣ δ' ἐπέεσσι* καθάπτετο Ο 127 | ἐπέεσσιν ἀμειβομένῳ * λ 81 | δῖα θεάων* supra 63

'τέκνα φίλ' αἵ τινές ἐστε γυναικῶν θηλυτεράων,
χαίρετ'· ἐγὼ δ' ὔμῖν μυθήσομαι· οὔ τοι ἀεικὲς
ὔμῖν εἰρομένῃσιν ἀληθέα μυθήσασθαι.
Δὼς ἐμοί γ' ὄνομ' ἐστί· τὸ γὰρ θέτο πότνια μήτηρ.
νῦν αὖτε Κρήτηθεν ἐπ' εὐρέα νῶτα θαλάσσης
ἤλυθον οὐκ ἐθέλουσα, βίῃ δ' ἀέκουσαν ἀνάγκῃ
ἄνδρες λῃστῆρες ἀπήγαγον· οἳ μὲν ἔπειτα
νηὶ θοῇ Θορικόνδε κατέσχεθον, ἔνθα γυναῖκες
ἠπείρου ἐπέβησαν ἀολλέες ἠδὲ καὶ αὐτοί,
δεῖπνόν τ' ἐντύνοντο παρὰ πρυμνήσια νηός·
ἀλλ' ἐμοὶ οὐ δόρποιο μελίφρονος ἤρατο θυμὸς,
λάθρῃ δ' ὁρμηθεῖσα δι' ἠπείροιο μελαίνης
φεῦγον ὑπερφιάλους σημάντορας, ὄφρά κε μή με
ἀπριάτην περάσαντες ἐμῆς ἀποναίατο τιμῆς.

---

119 *φίλ' αἵτινες* Fonteinius: *φίλα. τίνες M* | *ἐστὲ M* | 120 *οὔτοι* Fonteinius: *οὔτι M* | 121 *εἰρομένοισιν M* | 122 *δώς ἔμοιγ' M. Δηὼ* Fonteinius *Δὼς μὲν* Brunckius *Δωρὶς* Ruhnkenius *Δωσὼ* Passouius *Δμωὶς* Mitscherlichius *Δωὶς* uel *Δωὰς* Hermannus | 123 *δ' αὖτε* Ruhnkenius | 124 lege *ἀέκουσαν' ἑλόντες* | 125 *οἳ μὲν M* | 126 damnauit Lenzius conl. 133 s. | 'Homericum *νῆα θοὴν* ut *λ* 456' Vossius | *Θορικόνδε* Ruhnkenius cf. Herodianum Lentzi I p. 152, 10 *τὸ Θορικος οἱ πλείους ὀξύνουσιν* | *γυναῖκας* et 127 *ἀολλέας* Baumeisterus | 127 *οἳ δὲ* Hermannus senex | *αὐτοῦ* Lenzius | aut deesse uersum post 127 Hermannus putabat aut poetam scripsisse *δεῖπνον δ' ἡρτύνοντο* | 128 *δεῖπνον δ' ἐντύνοντο* Vossius, *δεῖπνόν τ'* ego: *δεῖπνον ἐπηρτύνοντο M* | 131 *ὄφρα κε* Ruhnkenius | 132 *ἀπονοίατο M*

---

119 *τέκνα φίλ'* * *ἦτοι δ* 78 | *γυναικῶν θηλυτεράων* * *λ* 386 | 120 *ἐγὼ μυθήσομαι* * *δ* 240 | *οὔ τοι ἀεικὲς* * *Ι* 70 | 121 *εἰπέ μοι εἰρομένῃ* * *ω* 474 | *ἀληθέα μυθήσασθαι* * *Ζ* 382 | 122 *αὐτὰρ ἐμοί γ' ὄνομ' ἐστὶν* * *Ἐπήριτος ω* 306 *Οὖτις ἐμοί γ' ὄνομ' ἔστ'* * *ι* 366 | *Ἀρναῖος δ' ὄνομ' ἔσκε· τὸ γὰρ θέτο πότνια μήτηρ σ* 5 | 123 *νῦν αὖτε Λ* 363 | *Κρήτηθεν Γ* 233 | *ἐπ' εὐρέα νῶτα θαλάσσης* * *Β* 159 | 124 *ἰλλάσιν οὐκ ἐθέλοντα βίῃ δήσαντες ἄγουσιν Ν* 572 | *οὐκ ἐθέλουσα* * *Σ* 434 | *βίῃ δ' ἀέκοντος Λ* 430 *ἀέκουσαν* * *β* 130 | *ἀνάγκῃ* * *Ξ* 128 cf. supra 72 | 125 *λῃστῆρες* * *γ* 73 cf. hym. 7, 6 ss. | 126 *νηὶ θοῇ Λ* 389 | 127 *ἠπείρου ἐπιβῆναι ε* 399 | *ἀολλέες* * *Ε* 498 | *ἠδὲ καὶ αὐτοὶ* * *τ* 429 *οἳ δὲ καὶ αὐτοὶ* * *α* 33 | 128 *δεῖπνόν τ' ἐντύνοντο* * *ο* 500 | ⟨*ἐπαρτύνομαι*⟩ *ἐπήρτυε* * *πῶμα θ* 447 *ἠρτύναντο δ' ἐρετμὰ θ* 53 | *παρὰ πρυμνήσια νηός* * *Α* 476 | 129 *σίτοιο μελίφρονος* * *ω* 489 | 130 *λάθρῃ* * *ὀπιπτεύσας Η* 243 | *δεύτερον ὁρμηθεὶς* * *Π* 402 | *ἠπείροιο μελαίνης* * *ξ* 97 | 131 *φεῦγον* * *Ι* 478 | *ὑπερφιάλους* * *γ* 315 | *σημάντορας* * *Δ* 431 | *ὄφρά κεν* * *ἤδη Ω* 635 | 132 *ἀπριάτην* * *Α* 99 | *τιμῆς ἀπονήμενος ω* 30

οὕτω δεῦρ' ἱκόμην ἀλαλημένη, οὐδέ τι οἶδα
ἥ τις δὴ γαῖ' ἔστι καὶ οἵ τινες ἐγγεγάασιν.
ἀλλ' ὑμῖν μὲν πάντες Ὀλύμπια δώματ' ἔχοντες
δοῖεν κουριδίους ἄνδρας καὶ τέκνα τεκέσθαι
ὡς ἐθέλουσι τοκῆες· ἐμὲ δ' αὖτ' οἰκτείρατε κοῦραι
προφρονέως, φίλα τέκνα, τέων πρὸς δώμαθ' ἵκωμαι
ἀνέρος ἠδὲ γυναικὸς, ἵνά σφισιν ἐργάζωμαι
πρόφρων οἷα γυναικὸς ἀφήλικος ἔργα τέτυκται·
καί κεν παῖδα νεογνὸν ἐν ἀγκοίνῃσιν ἔχουσα
καλὰ τιθηνοίμην καὶ δώματα τηρήσαιμι
καί κε λέχος στορέσαιμι μυχῷ θαλάμων εὐπήκτων
δεσπόσυνον καί κ' ἔργα διδασκήσαιμι γυναῖκας.'

---

134 *ἥτις γαῖ' ἠδ' ἐστὶ* Cobetus | *γαία* et *ε* super *αι* *M* | *ἐστὶ* *M* | *ἐκγεγάασιν* *M* | 135 *ὑμῖν πάσῃσιν* Hermannus | 137 *οἵ ἐθέλουσι* Fonteinius | 'pronuntiandum *τοκῆς*' Matthiaeus | *ἐμὲ δ'* *M*. *ἐμοὶ δ' αὖτ' εἴπατε* Cobetus. *ἔμ' αὖτ'* Fonteinius *ἐμὲ δ' οἰκτείρατε* Ilgenius | 138 *πρόςτροπον ὦ φίλα* Vossius | *τέως* Ruhnkenius. immo priora futtilia | 139 *ἵνα σφίσιν* *M* | 140 'potuisset scribere *ἔργα γυναικὸς ἀφήλικος οἷα*' Hermannus | 141 *αἴ κεν* Matthiaeus | *ἔχουσα* corr. ex *ἔχουσιν* *M* | 143 *εὐπήκτων* Wolfius | 144 'potuisset *κὲ* omittere' Hermannus | *διδασκήσαιμι γυναῖκας* Vossius: *διαθήσαιμι γυναικὸς* *M*. *διαντλήσαιμι γυναικός* Mitscherlichius *διαθλήσαιμι* Ignarra *διαθρήσαιμι γυναικῶν* Bothius | post hunc uersum *φῆ ῥὰ θεά. καί κ' ἔργα διαθήσα* scripsit, intellecto errore suo *-θήσ-* in *τήνδ'* correxit atque *αὐτίκ' ἀμεί.* adiecit, denique his expunctis uersum 145 repetiit integrum praeposita cruce *M*

---

133 *νῦν αὖ δεῦρ' ἱκόμην** *ν* 303 | *οὐδέ τι οἶδα** *γ* 184 | 134 *Κρήτη τις γαῖ' ἔστι** *τ* 172 | *τίνες ἀνέρες ἐγγεγάασιν** *ν* 233 cf. hym. Ap. 468 | 135 *ὑμῖν μὲν θεοὶ δοῖεν Ὀλύμπια δώματ' ἔχοντες* *Α* 18 *πάντες Ὀλύμπια δώματ' ἔχοντες** Hes. op. 81 | *σοὶ δὲ θεοὶ τόσα δοῖεν ὅσα φρεσὶ σῇσι μενοινᾷς ἄνδρα τε καὶ οἶκον καὶ ὁμοφροσύνην ὀπάσειαν* *ζ* 180 s. | 136 *ἀνδρὸς κουριδίου** *ω* 196 | *καὶ τέκνα τεκέσθαι** *χ* 324 | 137 *βασιλεῖς* aut *βασιλῆες* trisyllabum Hes. op. 263 et 248 | 138 *προφρονέως** *Ζ* 173 | *φίλα τέκνα** *Κ* 192 | *πῇ γὰρ ἐγὼ φίλε τέκνον ἴω; τεῦ δώμαθ' ἵκωμαι Ἀνδρῶν* *ο* 509 | *τέων** *Ω* 387 | 139 *ἀνὴρ ἠδὲ γυνὴ** *ζ* 184 *ἀνέρες ἠδὲ γυναῖκες** *Ο* 683 | *τοί οἱ φίλα ἐργάζοντο** *ω* 210 | 140 *πρόφρων** *ξ* 406 | ⟨*ἀφῆλιξ*⟩ *παναφήλικα* παῖδα* *Χ* 490 | *ἔργα τέτυκται** *Χ* 450 | 141 *καί κε** et in tertio versu *καί κε** *ο* 313 ss. | ⟨*νεογνός*⟩ *ὧδε νεογνὸς ἐὼν καὶ νήπιος* hym. Merc. 406 *νεογιλός* Hom. | *ἐν ἀγκοίνῃσιν* ἰαύεις* *Ξ* 213 | 142 ⟨*τιθηνέομαι*⟩ *μανίαι σ' ἐτιθηνήσαντο λαβοῦσαι* Theognis 1231 *τιθήνη* Hom. | ⟨*τηρέω*⟩ *τηρέωντι* Pind. Pyth. 2, 88 *δῶμα φυλάσσοις* *ε* 208 | 143 *στορέσαι πυκινὸν λέχος* *Ι* 621 | *μυχῷ θαλάμων εὐπήκτων** *ψ* 41 | 144 ⟨*δεσπόσυνος*⟩ *δεσποσύναισιν* Pind. Pyth. 4, 267 *δέσποινα* Hom. |

φῆ ῥα θεά· τὴν δ' αὐτίκ' ἀμείβετο παρθένος ἀδμὴς
Καλλιδίκη Κελεοῖο θυγατρῶν εἶδος ἀρίστη.
'μαῖα, θεῶν μὲν δῶρα καὶ ἀχνύμενοί περ ἀνάγκῃ
τέτλαμεν ἄνθρωποι· δὴ γὰρ πολὺ φέρτεροί εἰσιν.
ταῦτα δέ τοι σαφέως ὑποθήσομαι ἠδ' ὀνομήνω
ἀνέρας οἷσιν ἔπεστι μέγα κράτος ἐνθάδε τιμῆς,
δήμου τε προὔχουσιν ἰδὲ κρήδεμνα πόληος
εἰρύαται βουλῇσι καὶ ἰθείῃσι δίκῃσιν·
ἠμὲν Τριπτολέμου πυκιμήδεος ἠδὲ Διόκλου
ἠδὲ Πολυξείνου καὶ ἀμύμονος Εὐμόλποιο
καὶ Δολίχου καὶ πατρὸς ἀγήνορος ἡμετέροιο,
τῶν πάντων ἄλοχοι κατὰ δώματα πορσαίνουσιν·

---

145 *φῆ ῥὰ θεά. τήνδ' M* | 146 '*Καλλιδίκη* pro Saesara uel Pammerope ab interpolatore posita uidetur' Hermannus. mireris nullum optasse *Καλλιθόη* conl. 110 | *θυγατέρων M* | 147 *ἠχνύμενοί M. ἀχνυμένοις περ ἀνάγκῃ τετλάμεν ἀνθρώποις* Brunckius | 148 *τετλάμεν* ut esset infinitiuus pro imperatiuo Ilgenius | *φέρτεροι εἰσὶν M* | 150 *τιμῆς* docimentum uersus immutati ab alio quem simul 151 et 152 interposuisse suspicor | 151 *πόληος* corr. ex *πόλιος M* | 153 negligentiam constructionis Hermannus statuebat, 153—155 grammatico tribuebat Matthiaeus, 156 ante 153 Schneiderus collocabat | *ἠμὲν* Matthiaeus: *ἡ μὲν M* quod Ruhnkenius ad domum, ad *τιμήν* Ignarra referebat. *ἧ μὲν Τριπτολέμου πυκινὴ ἶς* 'ubi est' Vossius | *ἠδὲ* quod Ruhnkenius e codice notauerat Matthiaeus: *ἡ δὲ M* | 154 *ἠδὲ* Matthiaeus: *ἡ δὲ M* | Pausanias I 38, 2 de Eumolpo *Ὁμήρῳ ἐς μὲν τὸ γένος ἐστὶν οὐδὲν αὐτοῦ πεποιημένον, ἐπονομάζει δὲ ἀγήνορα ἐν τοῖς ἔπεσι τὸν Εὔμολπον.* hinc *ἀγήνορος Εὐμόλποιο* Ruhnkenius | 155 *Δολίχου* Vossius: *δολιχοῦ M* | *πατρὸς ἀμύμονος* Ruhnkenius

---

δμωαί, τὰς μέν τ' ἔργα διδάξαμεν ἐργάζεσθαι χ 422 *ἔργα διδασκῆσαι* Hes. op. 64 | 145 *ἣ δ' αὐτίκ' ἀμείβετο** δ 382 | *παρθένος ἀδμής** ζ 109 | 146 *Ἄλκηστις Πελίαο θυγατρῶν εἶδος ἀρίστη* Β 715 | 147 *μαῖ'** *ἄγε* β 349 | *θεῶν ἐρικυδέα δῶρα* Υ 265 *δῶρα** *θεῶν* σ 141 | *καὶ ἀχνύμενοί περ ἀνάγκῃ** Μ 178 | *σὺ δὲ τετλάμεναι καὶ ἀνάγκῃ** ν 307 | cf. infra 216 et 217 | 148 *πολὺ φέρτεροί εἰσιν** Κ 557 | 149 *σοὶ δ' αὐτῷ πυκινῶς ὑποθήσομαι** α 279 | ⟨*σαφής*⟩ *σαφὲς* hym. Merc. 208 *σάφα* Hom. | *οὐδ' ὀνομήνω** Β 488 | 150 *μέγα κράτος** Ν 486 | 151 *προὔχουσιν** κ 90 | *Τροίης ἱερὰ κρήδεμνα** Π 100 | *ὅς Θήβης κρήδεμνον ἔχει ῥύεταί τε πόληα* Hes. scut. 105 | 152 *εἴρυτο δίκῃσι* Π 541 | *ἰθείῃσι δίκῃσιν* Hes. th. 86 | 153 *ἠμὲν** et *ἠδὲ** π 212 | cf. 474 ss. | *γραίης πυκιμηδέος** α 438 | 154 *ἠδὲ** adiunctum superiori *ἠμὲν** π 306 | 155 *πατρὸς ἀμύμονος** η 29 | *ἄστεος ἡμετέροιο** Ο 351 | 156 *τῶν πάντων** Χ 424 | *κατὰ δώματα** υ 122 | ⟨*πορσαίνω*⟩ *πορσαίνειν* Pind. Ol. 6, 33 *πορσυνέουσα λέχος* Γ 411

τάων οὐκ ἄν τίς σε κατὰ πρώτιστον ὀπωπὴν
εἶδος ἀτιμήσασα δόμων ἀπονοσφίσσειεν,
ἀλλά σε δέξονται· δὴ γὰρ θεοείκελός ἐσσι.
εἰ δ' ἐθέλεις, ἐπίμεινον, ἵνα πρὸς δώματα πατρὸς
ἔλθωμεν καὶ μητρὶ βαθυζώνῳ Μετανείρῃ
εἴπωμεν τάδε πάντα διαμπερὲς, αἴ κέ σ' ἀνώγῃ
ἡμέτερον δ' ἰέναι μηδ' ἄλλων δώματ' ἐρευνᾶν.
τηλύγετος δέ οἱ υἱὸς ἐνὶ μεγάρῳ ἐυπήκτῳ
ὀψίγονος τρέφεται πολυεύχετος ἀσπάσιός τε.
εἰ τόν γ' ἐκθρέψαιο, καὶ ἥβης μέτρον ἵκοιτο,
ῥεῖά κέ τίς σε ἰδοῦσα γυναικῶν θηλυτεράων
ζηλώσαι· τόσα κέν τοι ἀπὸ θρεπτήρια δοίη.'
ὣς ἔφαθ'· ἣ δ' ἐπένευσε καρήατι· ταὶ δὲ φαεινὰ
πλησάμεναι ὕδατος φέρον ἄγγεα κυδιάουσαι.
ῥίμφα δὲ πατρὸς ἵκοντο μέγαν δόμον, ὦκα δὲ μητρὶ

157 ἄν τις σε *M* | ὀπωπῆς Ignarra | 158 ἀπονοσφίσειεν *M* | 159 interpolatus uidebatur Mitscherlichio | θεοείκελος ἐσσί *M* | 160 δ' ἐθέλεις Hermannus: δὲ θέλεις *M* cf. 137 45 193 | ἕως πρὸς Brunckius | 162 ἀνάγῃ Fonteinius: ἀνώγει *M*. ἀνώγοι Brunckius | 163 ἡμέτερόνδ' Ruhnkenius | μὴ δ' *M* | 164 εὐπήκτῳ Wolfius | 165 eiciebat Matthiaeus | num πολύευκτός τ'? | 166 τόν γε θρέψαιο 221 | 167 ἤ ῥά κε Matthiaeus ex 222 ῥεῖά σε τίς κεν Brunckius | 168 ἀποθρεπτήρια *M* | 169 ἔφαθ' corr. fortasse ex ἔφαν *M* | ἠδ' *M* | 170 κυδιόωσαι Ruhnkenius | 171 αἶψα δὲ μητρὶ Mitscherlichius

157 τάων οὔ* τις β 121 | οὐκ ἄν τίς σε τ 107 | ἤντησας ὀπωπῆς* δ 327 | 158 εἶδος* ἀμαλδύνουσα supra 94 | δόμων ἄπο* γ 313 | ⟨ἀπονοσφίζω⟩ νοσφισσαμένη τόδε δῶμα φ 77 ἀπονοσφισθῶσι hym. Merc. 562 | 160 εἰ δ' ἐθέλεις ἐπίμεινον* ρ 277 | πρὸς δώματα πατρός* δ 657 | 161 βαθυζώνους* τε γυναῖκας Ι 594 | ἐύζωνος Μετάνειρα 212 234 243 255 | 162 ἤματα πάντα διαμπερὲς εἴ κε* Π 499 | 163 ἡμέτερον δ'* ἐλθόντες θ 39 | 164 ὅς μοι τηλύγετος τρέφεται θαλίῃ ἔνι πολλῇ· τρεῖς δέ μοί εἰσι θύγατρες ἐνὶ μεγάρῳ ἐυπήκτῳ Ι 143 s. | 165 ⟨πολυεύχετος⟩ πολυάρητος 220 | 166 = 221 | ⟨ἐκτρέφω⟩ ἐξεθρέψατο Batrachom. 30 θρέψαιο τ 368 | καὶ ἥβης μέτρον ἱκάνεις* σ 217 cf. λ 317 καὶ ἥβης μέτρον ἵκοιτο* Hes. op. 132 | 167 = 222 | γυναικῶν θηλυτεράων* λ 386 cf. supra 119 | 168 = 223 | ⟨ζηλόω⟩ ζηλοῖ δέ τε γείτονα γείτων Hes. op. 23 ζηλήμονες ε 118 δύσζηλοι η 307 | ⟨θρεπτήριον⟩ τοκεῦσιν ἀπὸ θρεπτήρια δοῖεν* Hes. op. 188 οὐδὲ τοκεῦσιν θρέπτρα φίλοις ἀπέδωκε Ρ 301 | 169 ἐμῷ δ' ἐπένευσα κάρητι Ο 75 δ' ἀνένευε καρήατι* Χ 205 | 170 πέσον ἄγγεα* π 13 | οἳ δὲ μέγα κυδιόωντες* Φ 519 | 171 ἵκοντο* δόμον π 335

ἔννεπον ὅσσ' εἶδόν τε καὶ ἔκλυον· ἣ δὲ μάλ' ὦκα
ἐλθούσας ἐκέλευε καλέειν ἐπ' ἀπείρονι μισθῷ.
αἳ δ' ὥστ' ἢ ἔλαφοι ἢ πόρτιες εἴαρος ὥρῃ
ἅλλοντ' ἂν λειμῶνα κορεσσάμεναι φρένα φορβῇ,
ὣς αἳ ἐπισχόμεναι ἑανῶν πτύχας ἱμεροέντων
ἤιξαν κοίλην κατ' ἀμαξιτόν· ἀμφὶ δὲ χαῖται
ὤμοις ἀίσσοντο κροκηίῳ ἄνθει ὁμοῖαι.
τέτμον δ' ἐγγὺς ὁδοῦ κυδρὴν θεόν, ἔνθα πάρος περ
κάλλιπον· αὐτὰρ ἔπειτα φίλα πρὸς δώματα πατρὸς
ἡγεῦνθ'· ἣ δ' ἄρ' ὄπισθε φίλον τετιημένη ἦτορ
στεῖχε κατὰ κρῆθεν κεκαλυμμένη· ἀμφὶ δὲ πέπλος
κυάνεος ῥαδινοῖσι θεᾶς ἐλελίζετο ποσσίν.
αἶψα δὲ δώμαθ' ἵκοντο διοτρεφέος Κελεοῖο,
βὰν δὲ δι' αἰθούσης, ἔνθά σφισι πότνια μήτηρ

---

172 ἔννεπον ὡς *M* | εἶδον τε *M*. ἔιδόν τε Hoffmannus 'epicus poeta dicturus fuisset ὅσσα ἴδον' Hermannus | ἡ δὲ *M* | 173 καλεῖν Ruhnkenius cf. 284 et 406 καλέειν ἐκέλευσ' Vossius ἔκελεν καλέειν Baumeisterus | 174 αἴδ' *M* | ὥστ' ἢ Brunckius: ὥς τοι *M* | ἦαρος *M* | 175 ἄλλοντ' *M* | φορβῆς Vossius | 176 ἀνασχόμεναι Brunckio in mentem uenit | ἑανῶν *M* | 179 θεὸν Vossius: θεὰν *M* | 180 φίλον Matthiaeus ut 107 | 181 ἦδ' ἄρ ὄπισθεν *M* | 182 κατὰ κρῆθεν Vossius: κατ' ἄκρηθεν *M* contra quam Aristarchus scribebat. κατακρῆθεν Ruhnkenius κατάκρηθεν Wolfius | 183 θεᾶς Hermannus: θεῆς *M* | 185 βάν δὲ *M* | ἔνθα σφίσι *M*

---

172 οἳ δὲ μάλ' ὦκα* ο 182 | 173 ἤνωγεν καλέειν* hym. Ap. 105 | μισθῷ ἐπὶ ῥητῷ Φ 445 | ἐπ' ἀπείρονα* γαῖαν Η 446 | 174 οἳ δ' ὥστ' ἢ ἔλαφον* Ο 271 | πόριες κ 410 | ἔαρος δ' ἐπιγίγνεται ὥρῃ* Ζ 148 | 175 ἐν λειμῶνι* Β 461 | ἐπεί τ' ἐκορέσσατο φορβῆς* Λ 562 κεκορημένον ἦτορ ἐδωδῆς Hes. op. 593 cf. κ 411 Lucreti I 261 | 176 βῆ δὲ κατασχομένη ἑανῷ ἀργῆτι φαεινῷ Γ 419 | χροὸς ἱμερόεντος* Ξ 170 | 177 ἤιξαν* πεδίονδε ο 183 | κατ' ἀμαξιτὸν* Χ 146 | ἀμφὶ δὲ χαῖται Ὤμοις ἀίσσονται* Ζ 509 cf. supra 40 | 178 ὑακινθίνῳ ἄνθει ὁμοίας* ζ 231 | ⟨κροκήϊος⟩ κρόκεα πέταλα Eurip. Ion. 889 κρόκον κροκόπεπλος Hom. | 179 ἐγγὺς ὁδοῦ cf. 98 | κυδρὴ θεὸς* Hes. th. 442 cf. infra 292 | ἔνθα πάρος Λ 610 | ὡς τὸ πάρος περ* Ε 806 | 180 κάλλιπον* χ 156 | αὐτὰρ ἔπειτα* Γ 335 | φίλα πρὸς δώματα πατρὸς* supra 107 | 181 φίλον τετιημένη ἦτορ* supra 98 | 182 κατὰ κρῆθεν Π 548 | κατὰ κρῆθεν δὲ καλύπτρην Hes. th. 574 κατὰ κρᾶτα καλυψάμενος θ 92 νεφέλῃ κεκαλυμμέναι* θ 562 | ἀμφὶ δὲ πέπλοι* Ε 194 | 183 κάλυμμ' ἕλε δῖα θεάων Κυάνεον Ω 93 | ποσσὶν ὕπο ῥαδινοῖσιν Hes. th. 195 | θεᾶς* κ 220 | 184 αἶψα δ'* ἔπειθ' ἵκοντο Ε 367 ἀλλ' ὅτε δώμαθ' ἵκοντο* γ 388 | διοτρεφέος* βασιλῆος Β 196 | 185 βὰν* δ' ἴμεν Ξ 134 | πλῆντο δ' ἄρ' αἴθουσαι* θ 57 | πότνια

ἧστο παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο
παῖδ' ὑπὸ κόλπῳ ἔχουσα, νέον θάλος· αἳ δὲ παρ' αὐτὴν
ἔδραμον· ἣ δ' ἄρ' ἐπ' οὐδὸν ἔβη ποσί, καί ῥα μελάθρου
κῦρε κάρη, πλῆσεν δὲ θύρας σέλαος θείοιο.
τὴν δ' αἰδώς τε σέβας τε ἰδὲ χλωρὸν δέος εἷλεν·
εἶξε δέ οἱ κλισμοῖο καὶ ἑδριάασθαι ἄνωγεν

ἀλλ' οὐ Δημήτηρ ὡρηφόρος ἀγλαόδωρος
ἤθελεν ἑδριάασθαι ἐπὶ κλισμοῖο φαεινοῦ,
ἀλλ' ἀκέουσ' ἀνέμιμνε κατ' ὄμματα καλὰ βαλοῦσα,
πρίν γ' ὅτε δή οἱ ἔθηκεν Ἰάμβη κέδν' εἰδυῖα
πηκτὸν ἕδος, καθύπερθε δ' ἐπ' ἀργύφεον βάλε κῶας·
ἔνθα καθεζομένη προκατέσχετο χερσὶ καλύπτρην

δηρὸν δ' ἄφθογγος τετιημένη ἧστ' ἐπὶ δίφρου
οὐδέ τιν' οὔτ' ἔπεϊ προσπτύσσετο οὔτε τι ἔργῳ,

---

187 αἱ δὲ *M* | 188—211 a primo poeta abiudicauit Prellerus | ἦδ' *M* | 189 κύρε *M* | πλῆσε *M*. πλῆσθεν δὲ θύραι Vossius conl. 280 | 190 τήνδ' *M* | 'nusquam post caesuram τ' ἠδὲ' Vossius | 192 ὡραφόρος *M* | 194 ἀκέουσ' ἀνέμιμνε Vossius: ἀκέουσα ἔμιμνε *M* | κάτ' *M* | 195 κεδνὰ ἰδυῖα Hoffmannus | 196 ἕδος *M* | κῶα *M* | 198 δηρόνδ' *M* | 199 οὔτε ἔπει Hoffmannus

---

μήτηρ* supra 122 | 186 στῆ ῥα παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο α 333 | 187 παῖδ' ἐπὶ κόλπῳ ἔχουσ'* ἀταλάφρονα Ζ 400 | γλυκερὸν θάλος* supra 66 | 188 οὐδοῦ ἐπεμβεβαὼς Ι 582 αὖτις ἐπ' οὐδὸν ἰὼν ρ 413 | μελάθρου Κῦρε κάρη hym. Ven. 173 | 189 cf. τ 39 | 190 εἶδός τε μέγεθός τε ἰδὲ* φρένας λ 337 | τοὺς δὲ χλωρὸν δέος εἷλεν* ω 533 | 191 τῷ δ' ἕδρης ἐπιόντι πατὴρ ὑπόειξεν Ὀδυσσεύς π 42 | κατὰ δ' ἑδριάασθαι ἄνωγεν* Λ 646 | 192 cf. 54 | 193 ἐπὶ θρόνου ἷζε φαεινοῦ* Σ 422 | 194 ἀλλ' ἀκέουσα* κάθησο Α 565 ἀλλὰ καὶ ὣς ἀνέμιμνε* Π 363 | ὄμματα καλὰ* α 208 κάτ' ὄμματα καλὰ βαλοῦσα* hym. Ven. 156 | 195 πρίν γ' ὅτε δὴ* ψ 43 | τῷ δ' ἄρα Ποντόνοος θῆκε θρόνον ἀργυρόηλον θ 65 | κέδνα ἰδυῖα* α 428 | 196 ὅθ' ἐπὶ μέγα βάλλετο κῶας* τ 58 ἐπ' αὐτῷ κῶας ἔβαλλεν τ 101 κῶας ὕπερθεν π 47 | ἀργύφεον φᾶρος μέγα κ 543 | 197 ἔνθα καθῖζ' Ἑλένη Γ 426 ἔνθα καθεζόμενος* Hes. scut. 34 | ⟨προκατέχομαι⟩ προέχω κατέχω προκαθίζω Hom. | κεφαλῇ ἐφύπερθε καλύπτρην* ε 232 | ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα π 416 | 198 ⟨ἄφθογγος⟩ ἄγγελος ἄφθογγος Theognis 549 λιγυφθόγγοισιν ἄναυδος Hom. ἣ δ' ἄνεω δὴν ἧστο ψ 93 ἀλλ' ἀκέων δὴν ἧστο Α 512 | ἕζετ' ἐυξέστου ἐπὶ δίφρου* ρ 602 | 199 ταύτην δ' οὔτ' ἔπεϊ προτιβάλλεαι οὔτε τι ἔργῳ Ε 879 |

ἀλλ' ἀγέλαστος ἄπαστος ἐδητύος ἠδὲ ποτῆτος
ἧστο πόθῳ μινύθουσα βαθυζώνοιο θυγατρός,
πρίν γ' ὅτε δὴ χλεύῃς μιν Ἰάμβη κέδν' εἰδυῖα
πολλὰ παρασκώπτουσα τρέψατο πότνιαν ἁγνὴν
μειδῆσαι γελάσαι τε καὶ ἵλαον σχεῖν θυμόν,
ἣ δή οἱ καὶ ἔπειτα μεθύστερον εὔαδεν ὀργή

202—205 interpolatori tribuebant Matthiaeus et Hermannus | *χλεύησιν* Hermannus | scholion Nicandri alex. 130 *τῆς Κόρης ἁρπαγείσης ὑπὸ τοῦ Πλούτωνος ἡ μήτηρ αὐτῆς ἡ Δηὼ περιήρχετο νῆστις ζητοῦσα αὐτήν, ὑπεδέχθη δ' ἐν τοῖς οἴκοις τοῦ Ἱπποθόωντος ὃς ἦν υἱὸς τοῦ Ποσειδῶνος ἐξ Ἀλόπης τῆς Κερκυόνος, ὑπὸ τῆς γυναικὸς αὐτοῦ Μετανείρας, ἥτις Μετάνειρα παρέθηκεν αὐτῇ τράπεζαν καὶ ἐκέρασεν αὐτῇ οἶνον, ἡ δὲ θεὸς οὐκ ἐδέξατο λέγουσα μὴ θεμιτὸν εἶναι πιεῖν αὐτῇ οἶνον ἐπὶ τῇ θλίψει τῆς θυγατρός, ἀλφίτων δ' αὐτὴν κυκεῶνα ἐκέλευσε κατασκευάσαι, ὃν δεξαμένη ἔπιεν· Ἰάμβη δέ τις δούλη τῆς Μετανείρας ἀθυμοῦσαν τὴν θεὸν ὁρῶσα γελοιώδεις λόγους καὶ σκώμματά τινα πρὸς τὸ γελάσαι τὴν θεὸν ἔλεγεν [ἦσαν δὲ τὰ ῥηθέντα ὑπ' αὐτῆς] ἰαμβικῷ μέτρῳ ῥυθμισθέντα, ὅπερ αὐτὴ πρῶτον εἶπεν, ἐξ ἧς καὶ τὴν προσηγορίαν ἔλαβον ἴαμβοι λέγεσθαι· Ἰάμβη δὲ θυγάτηρ Ἠχοῦς καὶ Πανός, Θρᾷσσα δὲ τὸ γένος.* aliud deinceps *ὅτι διὰ γλήχωνος ἔπιεν ἡ Δημήτηρ τὸν κυκεῶνα καὶ διὰ τὴν χλεύην τῆς Ἰάμβης ἐγέλασεν ἡ θεά, ἐν τοῖς εἰς Ὅμηρον ἀναφερομένοις ὕμνοις λέγεται* | *κεδνὰ ἰδυῖα* Hoffmannus | 203 *παρὰ σκώπτουσ'* ut intellegeretur *παρετρέψατο* Heynius. ueteri poetae in promptu erat *πολλὰ μάλα* | *παρασκώπτουσ' ἐτρέψατο* Vossius | *πότνιαν ἁγνὴν* adiecisse librarium truncatos uersus expleturum coniecit Frankius. nihilo sanius *τρέψατο* | 204 *καὶ ἵλαον σχεῖν θυμὸν* librario imputauit Frankius. *καὶ ἵλαον σχέμεν ἦτορ* (cf. Orph. hym. 35, 6 *ἵλαον ἦτορ ἔχουσα*) uel *ὀργὴν* Mitscherlichius *ἡ δ' ἵλαον ἔνθετο θυμὸν* Heynius | 205 damnauit Heynius | *ἤδη οἱ M* | *καὶ ἔτεια* Vossius | *μεθύστερον* et cetera librario adscripsit Frankius *ἔπειτα μεθίσταται* uel *μεθίστατο αἰὲν ἑορταῖς* Vossius iuuenis | *ἔβαδεν M* | *ὀργὴ* correxi: *ὀργαῖς M. εὔαδ' ἑορταῖς* Vossius, *ἐν ὀργίοις* primo fuisse Mitscherlichius putauit

---

τόφρα γάρ κ' ἂν κατὰ ἄστυ ποτιπτυσσοίμεθα μύθῳ β 77 | 200 ⟨*ἀγέλαστος*⟩ *ἀγέλαστα πρόσωπα* Aesch. Agam. 803 *ἔργα γελαστὰ* (alii *ἔργ' ἀγέλαστα*) θ 307 | *κεῖτ' ἄρ' ἄσιτος ἄπαστος ἐδητύος ἠδὲ ποτῆτος* δ 788 | 201 cf. 304 | *ἡνιόχοιο πόθῳ* Ρ 439 *σεῖο πόθῳ μινύθουσα** *δυσάμμορος* Apollonius Α 286 | *βαθυζώνους* τε γυναῖκας* Ι 594 | 202 cf. 195 | ⟨*χλεύη*⟩ Attici teste Moeride *χλεύην τε ποιεῦ καὶ γέλωτα* Aeschrio AP VII 345 pluralis exemplum deest | 203 ⟨*παρασκώπτω*⟩ *τῷ παρασκῶψαί τι καὶ γελοῖον εἰπεῖν* Plut. vita Demetri c. 28 | *Ἄρτεμις ἁγνὴ** ε 123 | 204 *μειδήσασα** Α 596 | *σὺ δ' ἵλαον ἔνθεο θυμὸν** Ι 639 *σὺ δὲ μεγαλήτορα θυμὸν* ἴσχειν* Ι 255 *ὥς κέ τοι ἵλαον κραδίην καὶ θυμὸν ἔχωσιν* Hes. op. 340 | 205 *αἳ δή οἱ καὶ ἔπειτα** φ 24 | ⟨*μεθύστερον*⟩ Aesch. Pers. 208 *μετέπειτα* Ξ 310 *καὶ ὕστερον* Ξ 313 *ἔπειτ' ἀποπαύσει ἐς ὕστερον ὁρμηθῆναι* μ 126 | *εὔαδεν* εὐνή* Ξ 340 | ⟨*ὀργή*⟩ *κηφήνεσσι κοθούροις εἴκελος ὀργήν** Hes. op. 304

τῇ δὲ δέπας Μετάνειρα δίδου μελιηδέος οἴνου
πλήσασ'· ἣ δ' ἀνένευσ'· οὐ γάρ θεμιτόν οἱ ἔφασκε
πίνειν οἶνον ἐρυθρόν· ἄνωγε δ' ἄρ' ἄλφι καὶ ὕδωρ
δοῦναι μίξασαν πιέμεν γλήχωνι τερείνῃ·
ἣ δὲ κυκεῶ τεύξασα θεᾷ πόρεν ὡς ἐκέλευε·
δεξαμένη δ' ὁσίης ἕνεκεν πίε πότνια Δηώ

τῇσι δὲ μύθων ἦρχεν ἐύζωνος Μετάνειρα.
'χαῖρε γύναι, ἐπεὶ οὔ σε κακῶν ἄπ' ἔολπα τοκήων
ἔμμεναι ἀλλ' ἀγαθῶν· ἐπί τοι πρέπει ὄμμασιν αἰδὼς
καὶ χάρις ὡσεί πέρ τε θεμιστοπόλων βασιλήων.
ἀλλὰ θεῶν μὲν δῶρα καὶ ἀχνύμενοί περ ἀνάγκῃ
τέτλαμεν ἄνθρωποι· ἐπὶ γὰρ ζυγὸς αὐχένι κεῖται.
νῦν δ' ἐπεὶ ἵκεο δεῦρο, παρέσσεται ὅσσα τ' ἐμοί περ.

---

207 ἦδ' *M* | οἱ Hermannus: τοι *M*. γ' οἱ Ruhnkenius | ἔφασκεν *M* | 208 δ' ἄρ ἀμφὶ *M* | 209 τερίνῃ *M* | 210 ἠδὲ *M* | 211 δ' deleuit Slothouwerus non interpungens post ἐκέλευε | ὁσίης ἐπέβη πολυπότνια Vossius ὁσίης ἔλαχεν Schaeferus ὁσίης ἕνεκ' ἦν Moebius | πίε πότνια Frankius: πολυπότνια *M*. ueterem poetam ξανθὴ Δημήτηρ scripsisse Hermannus credebat | 213 γῦναι *M* | ἀπέολπα *M* | 214 ἐπεί τοι *M* | εἶδος Mitscherlichius | 215 χάρις corr. ut uidetur ex χάρος *M* | ὡσεὶ πέρ τε *M* | 217 cf. ad 147 | uersui 218 in *M* praepositus est obeliscus qui quid ualeat non extricaui. adsimilem ante uersum 199 lineolam non qui scripsit codicem neque qui recognouit duxisse uidebatur

---

206 δέπας μελιηδέος οἴνου* Σ 545 | 207 ἣ δ' ἀνένευσ' cf. ad 169 | ⟨θεμιτός⟩ τὸν οὐ θεμιτὸν ψεύδει θιγεῖν Pind. Pyth. 9, 42 | ξεῖνον γάρ οἱ ἔφασκε τ 191 | 208 οἶνον ἐρυθρόν ε 165 | ⟨ἄλφι⟩ primus Epicharmus teste Suida, teste Strabone VIII p. 364 Antimachus cuius est εὔϊλατον ἄλφι in Etym. M. p. 18, 39 ἀλφίτου Λ 631 | 209 ⟨γλήχων⟩ κατάθου τὺ τὰν γλάχων' ἀτρέμας Aristoph. Ach. 861 cf. Nicandri alexiph. 128 | τερίνη: τετριμμένη, οἱ δὲ τερπωλή Hesychius | 210 τεύξει τοι κυκεῶ κ 290 | πόρεν δέ οἱ ὅσσα κέλευσε* δ 745 ὡς ἐκέλευεν* ψ 539 | 211 κἀγὼ τῆς ὁσίης ἐπιβήσομαι hym. Merc. 173 | πίεν* λ 98 | πότνια Δηὼ* supra 47 ⟨πολυπότνια⟩ Θεσμοφόρω πολυποτνία Aristoph. thesm. 1156 | 212 τοῖς ἄρα μύθων ἦρχε* Β 433 | ἐύζωνος* παράκοιτις Ι 590 cf. ad 161 | 213 οὔ σε ἔολπα κακὸν καὶ ἄναλκιν ἔσεσθαι γ 375 τέων δ' ἐξ ἔσσι τοκήων* Ω 387 cf. Ξ 472 | ἐπεὶ οὐ σέ γέ φημι κακῶν ἒξ ἔμμεναι οὐδὲ κακοῖσιν ἐοικότα φύμεναι αὐτὸν, οἷόν τοι μέγα εἶδος ἐπιπρέπει Theocritus 25, 38 [incertus 9, 38 ed. Ahrens] | 215 θεμιστοπόλων βασιλήων* supra 103 | 216 et 217 = 147 et 148 | 217 καὶ ἐπὶ ζυγὸν αὐχένι* θεῖναι Hes. op. 815 ἐπὶ ζυγὸν αὐχένι κεῖται* Theognis 1357 | 218 πάντα παρέσσεται* Ι 135

παῖδα δέ μοι τρέφε τόνδε, τὸν ὀψίγονον καὶ ἄελπτον
ὤπασαν ἀθάνατοι· πολυάρητος δέ μοί ἐστιν.
εἰ τόν γε θρέψαιο, καὶ ἥβης μέτρον ἵκοιτο,
ἦ ῥά κέ τίς σε ἰδοῦσα γυναικῶν θηλυτεράων
ζηλώσαι· τόσα κέν τοι ἀπὸ θρεπτήρια δοίη.'
τὴν δ' αὖτε προσέειπεν ἐυστέφανος Δημήτηρ.
'καὶ σὺ γύναι μάλα χαῖρε, θεοὶ δέ τοι ἐσθλὰ πόροιεν·
παῖδα δέ τοι πρόφρων ὑποδέξομαι, ὥς με κελεύεις

θρέψω κοὔ μιν ἔολπα κακοφραδίῃσι τιθήνης
οὔτ' ἄρ' ἐπηλυσίη δηλήσεται οὔθ' ὑποταμνόν·
οἶδα γὰρ ἀντίτομον μέγα φέρτερον ὑλοτόμοιο,
οἶδα δ' ἐπηλυσίης πολυπήμονος ἐσθλὸν ἐρυσμόν.'
ὣς ἄρα φωνήσασα θυώδεϊ δέξατο κόλπῳ

---

220 *πολυήρατος M* | *μοι ἐστίν M* | 221 *γ' ἐκθρέψαιο* Hermannus ex 166 | 222 *ῥεῖά κέ* Hermannus *ῥεῖά σε τίς κεν* Brunckius sicut 167 | 223 *ἀποθρεπτήρια M* | *δοίη* Matthiaeus: *δοίην M* | 224 *τήνδ' M* | 225 *γῦναι* | 227 *θρέψαι· κοὔ* aut *οὐδέ τι που* Hermannus *θρέψω τ'· οὔ* aut *θρέψασθ'· οὔ* Vossius | 228 *ἄρ ἐπηλσίησι M* | *ὑποταμνὸν* pro *ὑποτάμενον* habebat Ilgenius oxytonon defendens, *δίκταμνον* comparauit Ruhnkenius proparoxytonon cogitans. *οὔτε τομαῖον* Vossius *οὔθ' ὑποτάμνων·* Ignarra. 'tres in duobus uersibus iunctis uoces *ὑποταμνὸν ἀντίτομον ὑλότομον* uix a bono poeta positas uerisimile' Matthiaeus. fuere qui *ὑπόθαμνον* et *ὀρόδαμνος* tentarent | 229 *οὐλοτόμοιο* Vossius quod ipse interpretatur ad perniciem succisum, Hermannus penitus excisum

---

219 ⟨*ἄελπτος*⟩ *ἀέλπτοις Ὠδίνεσσι πέπαρτο* hym. Ap. 91 *ἀελπὴς ἀελπτέοντες* Hom. | 220 *ὤπασαν* Z* 157 | *πολυάρητος δέ τοί ἐστιν* τ* 404 | 221 = 166 | 222 = 167 | 223 = 168 | 224 *τὸν δ' αὖτε προσέειπεν ἐυστέφανος κελαδεινὴ Φ* 511 | *ἐυστέφανος Δημήτηρ** Hes. op. 300 | 225 *καὶ σὺ φίλος μάλα χαῖρε, θεοὶ δέ τοι ὄλβια δοῖεν θ* 413 | 226 *ὃ δέ οἱ πρόφρων ὑπέδεκτο β* 387 | *ὥς με κελεύεις* λ* 507 | 227 *οὔ σε ἔολπα* γ* 375 | ⟨*κακοφραδίη*⟩ *ἀφραδίη B* 368 *κακοφραδές Ψ* 483 *κακορραφίῃσι* β* 236 *οὐ μὲν τῆς γε κακοφραδίης ἀπόναντο* Nicander ther. 348 | 228 ⟨*ἐπηλυσίη*⟩ hym. Merc. 37 | *ἔνθα κε σὴ βουλὴ δηλήσεται* Ξ* 102 | ⟨*ὑποταμνόν*⟩ corruptum | 229 *οἶδα** cum insequente *οἶδα δ'* H* 240 s. | ⟨*ἀντίτομον*⟩ Pindarus Pyth. 4, 221 *ἀντίτομον: φάρμακον ἀντιπαθὲς ὅπερ ὁ πιὼν οὐ βλάπτεται* Hesychius | *μέγα φέρτατ' Ἀχαιῶν Π* 21 | ⟨*ὑλότομον*⟩ *ὑλοτόμος* Hom. | 230 ⟨*πολυπήμων*⟩ *πολυπήμονας ἰᾶσθαι νόσους* Pind. Pyth. 3, 46 *πολυπενθὴς* Hom. | *ἦ γὰρ ἐπηλυσίης πολυπήμονος ἔσσεαι ἔχμα* hym. Merc. 37 | ⟨*ἐρυσμός*⟩ cf. Photii lexicon et Hesychium *ἔρυμα Δ* 137 | 231 *ὣς ἄρα φωνήσασα* Θ* 432 | *κηώδεϊ δέξατο κόλπῳ* Z* 483 | 'gremio sustulit illa suo Terque manu permulsit eum' Ovidius fast. IV 550

χερσίν τ' ἀθανάτῃσι, γεγήθει δὲ φρένα μήτηρ

ὣς ἣ μὲν Κελεοῖο δαΐφρονος ἀγλαὸν υἱὸν
Δημοφόωνθ' ὃν ἔτικτεν ἐύζωνος Μετάνειρα,
ἔτρεφεν ἐν μεγάροις· ὃ δ' ἀέξετο δαίμονι ἶσος
οὔτ' οὖν σῖτον ἔδων, οὐ θησάμενος . . .
. . . . Δημήτηρ
χρίεσκ' ἀμβροσίῃ ὡσεὶ θεοῦ ἐκγεγαῶτα
ἡδὺ καταπνείουσα καὶ ἐν κόλποισιν ἔχουσα·
νύκτας δὲ κρύπτεσκε πυρὸς μένει ἠύτε δαλὸν
[λάθρα φίλων γονέων· τοῖς δὲ μέγα θαῦμ' ἐτέτυκτο,
ὡς προθαλὴς τελέθεσκε, θεοῖσι δὲ ἄντα ἐῴκει.]
καί κέν μιν ποίησεν ἀγήρων τ' ἀθάνατόν τε,
εἰ μὴ ἄρ' ἀφραδίῃσιν ἐύζωνος Μετάνειρα

---

232 *χερσί τ' ἀθανάτοισι M.* *χείρεσιν ἀθανάτῃσι* Ilgenius *χείρεσσ'* Cobetus | 233 *ἡ* corr. ut uidetur ex *ο M* | 234 *δημοφόονθ' M* | 235 *ἔτρεφ' ἐνὶ* Vossius | *ὅδ' M* | 236 *οὔ γ' οὖν* Ilgenius | duos uersus in unum coaluisse uidit Mitscherlichius *θησάμενος γάλα μητρός* Hermannus restituit, alterius sententiam Vossius indicauit fere hanc *ἀλλά μιν ἠματίῃ μὲν ἐυστέφανος Δημήτηρ.* nihil deesse rati *θησάμενος· ἡ δ' ἦμαρ* Matthiaeus *θησάμενος· κατὰ δ' ἦμαρ* Vossius | 239 *κρύπτεσκεν ἐνὶ σποδῷ* aliquando fuisse suspicatur Guttmannus | *δαλον M* | 240 et 241 adscripti olim fortasse ad 235 | '*κρύβδα φίλων τοκέων* Homerus dixisset' Vossius *λάθρα ἑῶν* Spitznerus | *θαῦμα τέτυκτο* Hermannus cum Aristarcho | 241 *γὰρ ἄντα* Vossius | 242 *καί κεν μιν M* | *ἀγήρων* corr. ut uidetur ex *ἀγήρον M.* *ἀγήραον ἀθάνατόν τε* aut potius *καί κεν ἀγήρων μιν ποιήσατο ἀθάνατόν τε* Vossius

---

232 *χείρεσσ' ἀθανάτῃσιν** infra 253 | *γεγήθει δὲ φρένα* Νηλεύς Λ* 683 | 233 *Τυδέος υἱὲ δαΐφρονος* Δ* 370 cf. supra 96 | *ἀγλαὸν υἱὸν* Ε* 843 | 234 *τὸν ἔτικτε* Π* 180 | *ἐύζωνος Μετάνειρα** 212 | 235 *οὓς τρέφον ἐν μεγάροισι* Χ* 69 | *Τηλέμαχος δὲ νέον μὲν ἀέξετο* χ* 426 | *δαίμονι ἶσος* Ε* 438 | *ὃ δ' ἀέξετο* δαίμονος αἴσῃ* infra 300 | 236 *οὐ γὰρ σῖτον ἔδουσι Ε* 341 | 237 *ἤματα δ' αὖτε Ἀμβροσίῃ χρίεσκε* Apollonius *Δ* 869 | *ποταμοῖό περ ἐκγεγαῶτι* Φ* 185 | 238 *ἡδὺ μάλα πνείουσαν* δ* 446 ⟨*καταπνέω*⟩ *ἔτι γὰρ θεόθεν καταπνείει μολπάν* Aesch. Ag. 105 *παραπνέω ἐπιπνέω ἀναπνέω* similia Hom. | 239 *νύκτας δ' ἀλλύεσκεν* β* 105 post *ἠματίῃ μὲν* in secundo tertioque pedibus posita | *πυρὸς μένος* Ψ* 238 | *ὅτε τις δαλὸν σποδιῇ ἐνέκρυψε ε* 488 | 240 ⟨*λάθρα*⟩ *λάθρῃ* Ἀχιλλῆος Ω* 72 | ⟨*γονεύς*⟩ *ἐοικότα τέκνα γονεῦσιν* Hes. op. 235 *φίλων τοκέων Φ* 587 | *θαῦμα τέτυκτο* Σ* 549 | 241 ⟨*προθαλής*⟩ *ἀμφιθαλὴς Χ* 496 | *θεοῖσι γὰρ ἄντα ἐῴκει* Ω* 630 | 242 *θήσειν ἀθάνατον καὶ ἀγήρων ἤματα πάντα ε* 136 *ἀθάνατον ἄφθιτόν τε ποιήσω θεόν* Eur. Androm. 1257 | 243 *ἀνέρος ἀφραδίῃσιν* Ε* 649 | *ἐύζωνος Μετάνειρα** supra 212

νύκτ' ἐπιτηρήσασα θυώδεος ἐκ θαλάμοιο
σκέψατο, κώκυσεν δὲ καὶ ἄμφω πλήξατο μηρὼ
[δείσασ' ᾧ περὶ παιδὶ καὶ ἀάσθη μέγα θυμῷ]
καί ῥ' ὀλοφυρομένη ἔπεα πτερόεντα προσηύδα.
'τέκνον Δημοφόων, ξείνη σὲ μὲν ἐν πυρὶ πολλῷ
κρύπτει, ἐμοὶ δὲ γόον καὶ κήδεα λυγρὰ τίθησιν.'
ὣς φάτ' ὀδυρομένη· τῆς δ' ἄιε δῖα θεάων.
τῇ δὲ χολωσαμένη καλλιστέφανος Δημήτηρ
[παῖδα φίλον, τὸν ἄελπτον ἐνὶ μεγάροισιν ἔτικτε]
χείρεσσ' ἀθανάτῃσιν ἀπὸ ἕο θῆκε πέδονδε
[ἐξανελοῦσα πυρὸς, θυμῷ κοτέσασα μάλ' αἰνῶς]

---

246 male interpositus | δίσασ' sed ut ι correcta uideatur ex ει *M* | 'fuit qui magis Homericum putaret ἀάσθη δὲ μέγα' Matthiaeus | 248 σὲ μὲν Vossius: σε *M*. σ' ἦδ' Hermannus | ἐν πυρὶ Hermannus: πυρὶ ἐνὶ *M*. ξείνη σε πυρὸς μένει οὔλῳ Schneidewinus conl. 239. fuit cum tentarem τί ξείνη σ' ἐν πυρὶ | 251 restituendum censeo τὸν δὲ | 252 hoc loco ineptus | 253 ἄπω ἕο *M* | ἀπὸ ἕο γ' (ἔθεν Cobetus) ἧκε Matthiaeus | Apollodorus I 5, 1 βουλομένη δὲ αὐτὸν ἀθάνατον ποιῆσαι τὰς νύκτας εἰς πῦρ κατετίθει τὸ βρέφος καὶ περιῄρει τὰς θνητὰς σάρκας αὐτοῦ, καθ' ἡμέραν δὲ (ἔχριεν ἀμβροσίᾳ· οὕτω δὲ) παραδόξως αὐξανομένου τοῦ Δημοφῶντος ἐπετήρησε Μετάνειρα τί πράξει θεὰ, καὶ καταλαβοῦσα εἰς πῦρ ἐγκεκρυμμένον ἀνεβόησε· διόπερ τὸ μὲν βρέφος ὑπὸ τοῦ πυρὸς ἀνηλώθη, ἡ θεὰ δὲ αὐτὴν ἐξέφηνεν | 254 spurium indicauit Matthiaeus | 'magis Homericum fortasse esset κοτέουσα' Hermannus

---

244 ⟨ἐπιτηρέω⟩ ὃς κέρκῳ σαίνων σ' ὁπόταν δειπνῇς ἐπιτηρῶν Aristoph. eq. 1031 cf. supra 142 | ἐκ δ' Ἑλένη θαλάμοιο θυώδεος δ 121 | 245 δή ῥα τότ' ᾤμωξέν τε καὶ ὣ πεπλήγετο μηρὼ *M* 162 | 246 καὶ μέγ' ἀάσθη *Π* 685 ἀάσατο δὲ μέγα θυμῷ* *Ι* 537 | 247 καί ῥ' ὀλοφυρομένη ἔπεα πτερόεντα προσηύδα *Σ* 92 | 248 τέκνον* τί κλαίεις *Σ* 73 | ἐν πυρὶ πολλῷ* μ 237 ἐν πυρὶ κηλέῳ *Σ* 346 θαλίῃ ἔνι πολλῇ* *Ι* 143 | 249 πατέρι δὲ γόον καὶ κήδεα λυγρὰ *Ε* 156 | ὅσα κήδε' ἔθηκεν ψ 306 | 250 λίσσετ' ὀδυρομένη* *Ι* 591 | δῖα θεάων* supra 63 | 251 τὴν δὲ χολωσαμένη* προσεφώνεε *Γ* 413 ἣ δὲ χολωσαμένη* *Ι* 538 | ⟨καλλιστέφανος⟩ καλλιστεφάνοις εὐφροσύναις Eur. Bacch. 376 ἐυστέφανος Hom. χρυσοστέφανος Hes. cf. supra 102 | 252 παῖδα φίλον* *Π* 460 | ἄελπτον cf. 219 | ἔτικτον ἐνὶ μεγάροισι* γυναῖκες *Ω* 497 | 253 χείρεσσ' ἀθανάτῃσι* *Π* 704 cf. supra 232 | ἀπὸ ἕο θῆκε* χαμᾶζε φ 136 ἀπὸ ἔθεν ἧκε* χαμᾶζε *M* 205 | εἶσι πέδονδε* *N* 796 | 254 ⟨ἐξαναιρέω⟩ ἦ καί σφ' Ἀθάνα γῆθεν ἐξανείλετο Eur. Ion. 269 τό ῥ' ἥ γ' ἐξανελοῦσα Apollonius *Γ* 867 ἀναιρέω ἐξανίημι Hom. | κεκοτηότι θυμῷ *Φ* 456 κοτέουσα* *Ψ* 391 | μάλ' αἰνῶς* *K* 38

καί ῥ' ἄμυδις προσέειπεν ἐύζωνον Μετάνειραν.
'νήιδες ἄνθρωποι καὶ ἀφράδμονες οὔτ' ἀγαθοῖο
αἶσαν ἐπερχομένου προγνώμεναι οὔτε κακοῖο·
καὶ σὺ γὰρ ἀφραδίῃσι τεῇς νήκεστον ἀάσθης.
ἴστω γὰρ θεῶν ὅρκος, ἀμείλικτον Στυγὸς ὕδωρ,
ἀθάνατον κέν τοι καὶ ἀγήραον ἤματα πάντα
παῖδα φίλον ποίησα καὶ ἄφθιτον ὤπασα τιμήν.
νῦν δ' οὐκ ἔσθ' ὥς κεν θάνατον καὶ κῆρας ἀλύξαι·
τιμὴ δ' ἄφθιτος αἰὲν ἐπέσσεται, οὕνεκα γούνων
ἡμετέρων ἐπέβη καὶ ἐν ἀγκοίνῃσιν ἴαυσεν

ὥρῃσιν δ' ἄρα τῷγε περιπλομένων ἐνιαυτῶν
παῖδες Ἐλευσινίων πόλεμον καὶ φύλοπιν αἰνὴν

---

256 *καὶ* deleri uoluit Hermannus | *φράδμονες* legisse uidetur orphicus poeta | 257 *προγνώμεναι* Matthiaeus: *προγνώμενοι* | 258 *νήκεστον* Vossius: *μήκιστον M* | 261 *ποιήσασα M* | 262 *ἔσθ' ὅπως* uel *ἔστ' ἔθ' ὅπως* et *ἀλύξει* Cobetus | *γῆρας* Huschkius | *ἀλύξοι* Ruhnkenius quo rectius *ἀλύξῃ* | 263 parum haec conuenire cum 261 Mitscherlichius animaduertit | *ἄφθιτον M* | *γουνῶν M* | 265—267 seclusit Ilgenius | *ὥρησι M* | *τοῦγε* ut esset matura eius aetate Fonteinius | *περιπλωμένων M*

---

255 *ἣ δ' ἄμυδις* στήσασα Υ* 114 | *ἐύζωνος Μετάνειρα** supra 212 | 256 *νήπιοι ἄνθρωποι* δυστλήμονες* hym. Apol. 532 | *⟨ἀφράδμων⟩ πειρᾶσθέ μου γυναικὸς ὡς ἀφράσμονος* Aesch. Ag. 1401 *φράδμων Π* 638 | *θῆρές τ' οἰωνοί τε βροτῶν τ' ἀλιτήρια φῦλα, ἄχθεα γῆς, εἴδωλα τετυγμένα, μηδαμὰ μηδὲν εἰδότες, οὔτε κακοῖο προσερχομένοιο νοῆσαι φράδμονες οὐδ' ἄποθεν μάλ' ἀποστρέψαι κακότητος, οὔτ' ἀγαθοῦ παρεόντος ἐπιστρέψαι τε καὶ ἔρξαι ἴδριες, ἀλλὰ μάτην ἀδαήμονες, ἀπρονόητοι* Orph. frag. 32, 6 ss. | 257 *⟨προγιγνώσκω⟩ γνώμεναι Β* 349 *ἀνα-δια-ἐπι-γιγνώσκω* Hom. | 258 *ἀφραδίῃσιν** supra 243 | *νήκεστον ἀάσθη** Hes. op. 283 | 259 *Στυγὸς ὕδωρ, ὅστε μέγιστος Ὅρκος δεινότατός τε πέλει μακάρεσσι θεοῖσιν Ο* 37 | *θεῶν μέγαν ὅρκον β* 377 | *ἀμείλικτον* δ' ὄπ' ἄκουσαν Λ* 137 | *ἄγρει νῦν μοι ὄμοσσον ἀάατον Στυγὸς ὕδωρ Ξ* 271 | 260 cf. ad 242 *ἀθάνατος νύμφη καὶ ἀγήραος ἤματα πάντα* Hes. th. 305 | 261 *παῖδα φίλον** supra 252 | *ὤπασα* πομπόν Ν* 416 | 262 *νῦν δ' οὐκ ἔσθ' ὅστις* (*ὅς κεν* Eustathius) *θάνατον* φύγῃ* (alii *φύγοι*) *Φ* 103 | *οὐκέτ' ἔπειτ' ἔσται θάνατον καὶ κῆρας ἀλύξαι Φ* 565 | 263 *ἄφθιτον αἰεὶ Ξ* 238 | *γούνων* Δ* 407 | 264 *ἡμετέρων* μύθων φ* 292 | *ἐν ἀγκοίνῃσιν ἰαύεις* Ξ* 213 | 265 *ὥρῃσιν* πάσῃσι* hym. Ven. 102 | *περιπλομένων ἐνιαυτῶν* α* 16 | 266 *Ἐλευσινίης** versus supra ad 54 adlatus cf. 105 | *πόλεμόν τε κακὸν καὶ φύλοπιν αἰνὴν* Δ* 15

αἰὲν ἐν ἀλλήλοισι συνάξουσ' ἤματα πάντα

εἰμὶ δὲ Δημήτηρ τιμάοχος, ἥτε μέγιστον
ἀθανάτοις θνητοῖσί τ' ὄνειαρ καὶ χάρμα τέτυκται.
ἀλλ' ἄγε μοι νηόν τε μέγαν καὶ βωμὸν ὑπ' αὐτῷ
τευχόντων πᾶς δῆμος ὑπαὶ πόλιν αἰπύ τε τεῖχος
Καλλιχόρου καθύπερθεν ἐπὶ προὔχοντι κολωνῷ.
ὄργια δ' αὐτὴ ἐγὼν ὑποθήσομαι, ὡς ἂν ἔπειτα
εὐαγέως ἔρδοντες ἐμὸν νόον ἱλάσκησθε.'
ὣς εἰποῦσα θεὰ μέγεθος καὶ εἶδος ἄμειψε
γῆρας ἀπωσαμένη· περί τ' ἀμφί τε κάλλος ἄητο,
ὀδμὴ δ' ἱμερόεσσα θυηέντων ἀπὸ πέπλων

---

267 *αἰὲν 'Αθηναίοισι* Matthiaeus | *συνάξουσ'* Ignarra: *συναυξήσουσ'* *M*. *συναύξουσ'* Ruhnkenius *ἀέξουσ'* Vossius *ἀλύξουσ'* Goettlingius | post 267 lacunae signum Hermannus posuit | 269 *ἀθανάτων θνητοῖσιν* Stollius | *θνητοῖσιν ὄνειαρ M* | *ὄνειαρ πᾶσι τέτυγμαι* decebat poetam. *θνητοῖς τ' ὄνειαρ* correpta media syllaba aut *ὄνιαρ* aut *ὄνεαρ καὶ χάρμα* Buttmannus Vossius Ilgenius *θνητοῖσί τ' ὄναρ καὶ χάρμα* Hermannus *θνητοῖσί τ' ὄνειαρ χάρμα τ' ἐτύχθη* uel *ἐτύχθην* Ruhnkenius | *τέτυγμαι* commemorauit Vossius | 270 *ἄγ' ἐμοὶ* Vossius *ἄγε μὴν* Matthiaeus | 271 *ὑπὸ πτόλιν* Vossius | 273 et 274 postea inlatos Prellerus iudicauit | *αὐτῇ M* | fuit qui *οἷς* mallet | 274 *ἔρδοντες* Frankius | *νηὸν M*. melius *μένος* 368 | *ἱλάσκησθε* Schaeferus: *ἱλάσκοισθε* sed ut prior σ erasa sit *M* | 275 *μέγεθός τε καὶ* Ruhnkenius

---

267 *Τρῶες καὶ Δαναοὶ σύναγον κρατερὴν ὑσμίνην* Ξ 448 | *ἤματα πάντα** Θ 539 | 268 ⟨*τιμάοχος*⟩ *ἐν νηοῖσι θεῶν τιμάοχός ἐστι* hym. Ven. 31 *γαιήοχος* Hom. | 269 *χαῖρε πάτερ μέγα θαῦμα μέγ' ἀνθρώποισιν ὄνειαρ* Aratus phaen. 15 | *ἀθάνατοι θνητοῖσιν** τ 593 | *πᾶσί τ' ὄνειαρ* Χ 433 *θνητοῖς μέγ' ὄνειαρ* Hes. th. 871 | *χάρμα* βροτοῖσιν** Ξ 325 | *μοῖρα τέτυκται** Γ 101 | 271 *πᾶς δῆμος** Υ 166 | *ὑπὸ πτόλιν αἰπύ τε τεῖχος** Λ 181 | 272 *'Ορτυγίης καθύπερθεν** ο 404 | *ἐπὶ προὔχοντι** *μελάθρῳ* τ 544 | ⟨*κολωνός*⟩ *ἱεροὺς ναίουσα κολωνοὺς** Hes. fr. 76, 1 *σκοπιῆς προὔχοντα κολωνὸν** Orph. arg. 379 *αἰπεῖα κολωνὴ** Β 811 | 273 ⟨*ὄργια*⟩ *πόλεος ὀργίων* Aesch. Sept. 180 | *ἐγὼν ὑποθήσομαι αὐτὸς* β 194 | *ὑποθήσομαι** ε 143 ubi secuntur *ὥς κεν ἵκηται* | 274 ⟨*εὐαγής*⟩ *ὅσιος καὶ εὐαγὴς* lex Solonis apud Andocidem 1, 97 *ἅζομαι ἁγνός* Hom. *εὐφραδέως* τ 352 cf. infra 369 | *ἔρδων ἱερὰ καλὰ κατὰ νόμον ἱλάσκηται* Hes. th. 417 | 275 *ὣς εἰποῦσα θεὰ** Γ 139 | *εἶδός τε μέγεθός τε* Β 58 cf. ω 253 *μέγεθος καὶ εἶδος** hym. Ven. 82 | 276 *νεῖκος ἀπωσαμένους** Μ 276 | *περί τ' ἀμφί τε τάφρον* Ρ 760 | *θυμὸς ἄητο** Φ 386 | *τῆς καὶ ἀπὸ κρῆθεν βλεφάρων τ' ἄπο κάλλος ⏑ - - τοῖον ἄηθ' οἷόν τε πολυχρύσου 'Αφροδίτης* Hes. scut. 7 s. | 277 *θυηέντων ἐπὶ βωμῶν* Hes. th. 557

σκίδνατο, τῆλε δὲ φέγγος ἀπὸ χροὸς ἀθανάτοιο
λάμπε θεᾶ, ξανθὴ δὲ κόμη κατενήνοθεν ὤμους,
αὐγῆς δ' ἐπλήσθη πυκινὸς δόμος ἀστεροπῆς ὥς.
βῆ δὲ δι' ἐκ μεγάρων· τῆς δ' αὐτίκα γούνατ' ἔλυντο,
δηρὸν δ' ἄφθογγος γένετο χρόνον οὐδέ τι παιδὸς
μνήσατο τηλυγέτοιο ἀπὸ δαπέδου ἀνελέσθαι

τοῦ δὲ κασίγνηται φωνὴν ἐσάκουσαν ἐλεεινήν,
κὰδ δ' ἄρ' ἀπ' εὐστρώτων λεχέων θόρον· ἡ μὲν ἔπειτα
παῖδ' ἀνὰ χερσὶν ἑλοῦσα ἑῷ ἐγκάτθετο κόλπῳ·
ἡ δ' ἄρα πῦρ ἀνέκαι'· ἡ δ' ἔσσυτο πόσσ' ἁπαλοῖσι
μητέρ' ἀναστήσουσα θυώδεος ἐκ θαλάμοιο.
ἀγρόμεναι δέ μιν ἀμφὶς ἐλούεον ἀσπαίροντα

---

279 *θεᾷ* Vossius: *θεῆς M*. *θεᾶς* Hermannus | *ξανθαὶ δὲ κόμαι M* | 280 *αὐτῆς M* | 281 *γοῦνα λέλυντο* tentauit Vossius | 282 *ς* in *ἄφθογγος* absumptum chartae lacuna *M* | 284 *κασίγηται M*. *κασιγνήτη φωνὴν ἐσάκουσ' ἐλεεινήν* Hermannus | *ἐλεινὴν* Ruhnkenius | 285 *καδδ' ἄρ' M* | enumeratio illa spuria uidebatur Matthiaeo | *ἡ* ut uidetur *M* | 287 *ἦδ' ἄρα πυρὰν ἔκαι'· ἦδ' M* | 289 *ἐλούεον* forma Ruhnkenio suspecta. *ἔλουον ἀπ' ἀσπαίροντα* uel *ἀπασπαίροντα* aut *ἔλουν μέλε' ἀσπαίροντα* Ilgenius. lege *ἔλουόν τε σπείρων τε* aut *σπάργον τε* conlato Homerico uersus exitu *λοέσσαι τε χρῖσαί τε*

---

278 *σκίδναθ'** *ὑπὸ νεφέων Π* 375 | *τῆλε δὲ χαλκὸς ἀπ' αὐτόφιν οὐρανὸν εἴσω Λάμπ' Λ* 44 | <*φέγγος*> *λαμπρὸν φέγγος ἔπεστιν ἀνδρῶν* Pind. Pyth. 8, 97 *λαμπρὸν φάος* Hom. | 279 *ἀπ' ὀφθαλμῶν δὲ κακὸν πῦρ Ἐρχομένοις λάμπεσκε* Theocritus 18, 19 cf. *Ε* 7 | *ξανθῆς δὲ κόμης* Α* 197 | <*κατενήνοθεν*> *κατενήνοθεν ὤμους** Hes. scut. 269 *ἐπενήνοθε* Β* 219 | 280 *αὐγή* Ν* 341 | *ἐπλήσθη* Τ* 156 | *πυκινὸν δόμον* η* 81 | *τῆλε δὲ χαλκὸς Λάμφ' ὥστε στεροπὴ Κ* 153 | 281 *δι' ἐκ μεγάροιο βεβήκει ρ* 61 | *πολλῶν γούνατ'* ἔλυσεν Ν* 360 *γυῖα λέλυντο* Ν* 85 | 282 *δηρὸν δ' ἄφθογγος** supra 198 | *δηρὸν χρόνον Ξ* 206 et hym. hom. 28, 14 *δαρὸν δ' ἄνεω χρόνον ἧστο* Ibycus 21 | 283 *ἀνελόντες ἀπὸ χθονὸς γ* 453 | 284 *κασίγνηται* Σ* 52 | *φωνή* Σ* 219 | *οὐδ' ἐσάκουσε Θ* 97 | <*ἐλεινός*> trisyllabum Attici *ἐλεεινὸν* Ω* 309 | 285 *κὰδ δ' ἄρ'* ἐπ' ἀκτῆς Ψ* 125 | *ἀπὸ λέκτροιο θοροῦσα ψ* 32 | <*εὔστρωτος*> *ἐς λέχος εὔστρωτον* hym. Ven. 157 *στρωτοῖς ἐν λεχέεσσι* Hes. th. 798 *στόρεσαν λέχος* Hom. | *ἡ δ' ἀπὸ μὲν στρωτῶν λεχέων θόρε δειμαίνουσα* Mosch. Eur. 16 | 286 *ἔπειτα ἑῷ ἐγκάτθετο κόλπῳ* Ξ* 223 | 287 *ἥ οἱ πῦρ ἀνέκαιε* η* 13 cf. *ι* 251 | *ἁπαλοὶ πόδες Τ* 92 *πόσσ' ἁπαλοῖσιν** Hes. th. 3 | 288 *ἔνθεν ἀναστήσας* θ* 7 | *θυώδεος ἐκ θαλάμοιο** supra 244 | 289 *ἀγρόμενοι* Η* 194 | *κασίγνητοι δέ μιν ἀμφὶς Ἵσταντ' η* 4 | *λοῦσέ τε καὶ σπείρωσε* Callimachus h. Del. 6 cf. Hom. hym. Apol. 120 s. *ἐπὶ χθονὸς ἀσπαίρον-*

ἔννεπον ὅσσ' εἶδόν τε καὶ ἔκλυον· ἡ δὲ μάλ' ὦκα
ἐλθούσας ἐκέλευε καλέειν ἐπ' ἀπείρονι μισθῷ.
αἳ δ' ὥστ' ἢ ἔλαφοι ἢ πόρτιες εἴαρος ὥρῃ
ἅλλοντ' ἂν λειμῶνα κορεσσάμεναι φρένα φορβῇ,
ὣς αἳ ἐπισχόμεναι ἑανῶν πτύχας ἱμεροέντων
ἤιξαν κοίλην κατ' ἀμαξιτόν· ἀμφὶ δὲ χαῖται
ὤμοις ἀίσσοντο κροκηίῳ ἄνθει ὁμοῖαι.
τέτμον δ' ἐγγὺς ὁδοῦ κυδρὴν θεὸν, ἔνθα πάρος περ
κάλλιπον· αὐτὰρ ἔπειτα φίλα πρὸς δώματα πατρὸς
ἡγεῦνθ'· ἣ δ' ἄρ' ὄπισθε φίλον τετιημένη ἦτορ
στεῖχε κατὰ κρῆθεν κεκαλυμμένη· ἀμφὶ δὲ πέπλος
κυάνεος ῥαδινοῖσι θεᾶς ἐλελίζετο ποσσίν.
αἶψα δὲ δώμαθ' ἵκοντο διοτρεφέος Κελεοῖο,
βὰν δὲ δι' αἰθούσης, ἔνθά σφισι πότνια μήτηρ

---

172 ἔννεπον ὡς M | εἶδον τε M. ἔιδόν τε Hoffmannus 'epicus poeta dicturus fuisset ὅσσα ἴδον' Hermannus | ἡ δὲ M | 173 καλεῖν Ruhnkenius cf. 284 et 406 καλέειν ἐκέλευσ' Vossius ἔκελεν καλέειν Baumeisterus | 174 αἴδ' M | ὥστ' ἢ Brunckius: ὥς τοι M | ἤαρος M | 175 ἄλλοντ' M | φορβῆς Vossius | 176 ἀνασχόμεναι Brunckio in mentem uenit | ἑανῶν M | 179 θεὸν Vossius: θεὰν M | 180 φίλον Matthiaeus ut 107 | 181 ἦδ' ἆρ ὄπισθεν M | 182 κατὰ κρῆθεν Vossius: κατ' ἄκρηθεν M contra quam Aristarchus scribebat. κατακρῆθεν Ruhnkenius κατάκρηθεν Wolfius | 183 θεᾶς Hermannus: θεῆς M | 185 βάν δὲ M | ἔνθα σφίσι M

---

172 οἳ δὲ μάλ' ὦκα* ο 182 | 173 ἤνωγεν καλέειν* hym. Ap. 105 | μισθῷ ἐπὶ ῥητῷ Φ 445 | ἐπ' ἀπείρονα* γαῖαν Η 446 | 174 οἳ δ' ὥστ' ἢ ἔλαφον* Ο 271 | πόριες κ 410 | ἔαρος δ' ἐπιγίγνεται ὥρη* Ζ 148 | 175 ἐν λειμῶνι* Β 461 | ἐπεί τ' ἐκορέσσατο φορβῆς* Λ 562 κεκορημένον ἦτορ ἐδωδῆς Hes. op. 593 cf. κ 411 Lucreti I 261 | 176 βῆ δὲ κατασχομένη ἑανῷ ἀργῆτι φαεινῷ Γ 419 | χροὸς ἱμερόεντος* Ξ 170 | 177 ἤιξαν* πεδίονδε ο 183 | κατ' ἀμαξιτὸν* Χ 146 | ἀμφὶ δὲ χαῖται Ὤμοις ἀίσσονται* Ζ 509 cf. supra 40 | 178 ὑακινθίνῳ ἄνθει ὁμοίας* ζ 231 | ⟨κροκήϊος⟩ κρόκεα πέταλα Eurip. Ion. 889 κρόκον κροκόπεπλος Hom. | 179 ἐγγὺς ὁδοῦ cf. 98 | κυδρὴ θεὸς* Hes. th. 442 cf. infra 292 | ἔνθα πάρος Α 610 | ὡς τὸ πάρος περ* Ε 806 | 180 κάλλιπον* χ 156 | αὐτὰρ ἔπειτα* Γ 335 | φίλα πρὸς δώματα πατρὸς* supra 107 | 181 φίλον τετιημένη ἦτορ* supra 98 | 182 κατὰ κρῆθεν Π 548 | κατὰ κρῆθεν δὲ καλύπτρην Hes. th. 574 κατὰ κρᾶτα καλυψάμενος θ 92 νεφέλῃ κεκαλυμμέναι* θ 562 | ἀμφὶ δὲ πέπλοι* Ε 194 | 183 κάλυμμ' ἕλε δῖα θεάων Κυάνεον Ω 93 | ποσσὶν ὕπο ῥαδινοῖσιν Hes. th. 195 | θεᾶς* κ 220 | 184 αἶψα δ'* ἔπειθ' ἵκοντο Ε 367 ἀλλ' ὅτε δώμαθ' ἵκοντο* γ 388 | διοτρεφέος* βασιλῆος Β 196 | 185 βὰν* δ' ἴμεν Ξ 134 | πλῆντο δ' ἄρ' αἴθουσαι* θ 57 | πότνια

ἧστο παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο
παῖδ' ὑπὸ κόλπῳ ἔχουσα, νέον θάλος· αἳ δὲ παρ' αὐτὴν
ἔδραμον· ἣ δ' ἄρ' ἐπ' οὐδὸν ἔβη ποσί, καί ῥα μελάθρου
κῦρε κάρη, πλῆσεν δὲ θύρας σέλαος θείοιο.
τὴν δ' αἰδώς τε σέβας τε ἰδὲ χλωρὸν δέος εἷλεν·
εἶξε δέ οἱ κλισμοῖο καὶ ἑδριάασθαι ἄνωγεν

ἀλλ' οὐ Δημήτηρ ὡρηφόρος ἀγλαόδωρος
ἤθελεν ἑδριάασθαι ἐπὶ κλισμοῖο φαεινοῦ,
ἀλλ' ἀκέουσ' ἀνέμιμνε κατ' ὄμματα καλὰ βαλοῦσα,
πρίν γ' ὅτε δή οἱ ἔθηκεν Ἰάμβη κέδν' εἰδυῖα
πηκτὸν ἕδος, καθύπερθε δ' ἐπ' ἀργύφεον βάλε κῶας·
ἔνθα καθεζομένη προκατέσχετο χερσὶ καλύπτρην

δηρὸν δ' ἄφθογγος τετιημένη ἧστ' ἐπὶ δίφρου
οὐδέ τιν' οὔτ' ἔπεϊ προσπτύσσετο οὔτε τι ἔργῳ,

---

187 *αἱ δὲ M* | 188—211 a primo poeta abiudicauit Prellerus | *ἦδ' M* | 189 *κύρε M* | *πλῆσε M. πλῆσθεν δὲ θύραι* Vossius conl. 280 | 190 *τήνδ' M* | 'nusquam post caesuram *τ' ἠδὲ*' Vossius | 192 *ὡραφόρος M* | 194 *ἀκέουσ' ἀνέμιμνε* Vossius: *ἀκέουσα ἔμιμνε M* | *κάτ' M* | 195 *κεδνὰ ἰδυῖα* Hoffmannus | 196 *ἔδος M* | *κῶα M* | 198 *δηρόνδ' M* | 199 *οὔτε ἔπει* Hoffmannus

---

*μήτηρ** supra 122 | 186 *στῆ ῥα παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο* α 333 | 187 *παῖδ' ἐπὶ κόλπῳ ἔχουσ'* ἀταλάφρονα* Z 400 | *γλυκερὸν θάλος** supra 66 | 188 *οὐδοῦ ἐπεμβεβαὼς* I 582 *αὖτις ἐπ' οὐδὸν ἰὼν* ρ 413 | *μελάθρου Κῦρε κάρη* hym. Ven. 173 | 189 cf. τ 39 | 190 *εἶδός τε μέγεθός τε ἰδὲ* φρένας* λ 337 | *τοὺς δὲ χλωρὸν δέος εἷλεν** ω 533 | 191 *τῷ δ' ἕδρης ἐπιόντι πατὴρ ὑπόειξεν Ὀδυσσεύς* π 42 | *κατὰ δ' ἑδριάασθαι ἄνωγεν** Λ 646 | 192 cf. 54 | 193 *ἐπὶ θρόνου ἷξε φαεινοῦ** Σ 422 | 194 *ἀλλ' ἀκέουσα* κάθησο* Α 565 *ἀλλὰ καὶ ὣς ἀνέμιμνε** Π 363 | *ὄμματα καλὰ** α 208 *κάτ' ὄμματα καλὰ βαλοῦσα** hym. Ven. 156 | 195 *πρίν γ' ὅτε δὴ** ψ 43 | *τῷ δ' ἄρα Ποντόνοος θῆκε θρόνον ἀργυρόηλον* θ 65 | *κέδνα ἰδυῖα** α 428 | 196 *ὅθ' ἐπὶ μέγα βάλλετο κῶας** τ 58 *ἐπ' αὐτῷ κῶας ἔβαλλεν* τ 101 *κῶας ὕπερθεν* π 47 | *ἀργύφεον φᾶρος μέγα* κ 543 | 197 *ἔνθα καθῖζ' Ἑλένη* Γ 426 *ἔνθα καθεζόμενος** Hes. scut. 34 | ⟨*προκατέχομαι*⟩ *προέχω κατέχω προκαθίζω* Hom. | *κεφαλῇ ἐφύπερθε καλύπτρην** ε 232 | *ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα* π 416 | 198 ⟨*ἄφθογγος*⟩ *ἄγγελος ἄφθογγος* Theognis 549 *λιγυφθόγγοισιν ἄναυδος* Hom. *ἣ δ' ἄνεω δὴν ἧστο* ψ 93 *ἀλλ' ἀκέων δὴν ἧστο* Α 512 | *ἕζετ' ἐυξέστου ἐπὶ δίφρου** ρ 602 | 199 *ταύτην δ' οὔτ' ἔπεϊ προτιβάλλεαι οὔτε τι ἔργῳ* Ε 879 |

ὣς ἔφαθ'· ἡ δὲ Ζηνὶ κελαινεφέι Κρονίωνι
πείθετο καὶ τὸ μεσηγὺ διέδραμεν ὦκα πόδεσσιν.
ἵκετο δὲ πτολίεθρον Ἐλευσῖνος θυοέσσης,
εὗρεν δ' ἐν νηῷ Δημήτερα κυανόπεπλον
καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα.
'Δήμητερ, καλέει σε πατὴρ Ζεὺς ἄφθιτα εἰδὼς
ἐλθέμεναι μετὰ φῦλα θεῶν αἰειγενετάων.
ἀλλ' ἴθι, μηδ' ἀτέλεστον ἐμὸν ἔπος ἐκ Διὸς ἔστω.'
ὣς φάτο λισσομένη· τῇ δ' οὐκ ἐπεπείθετο θυμός.
αὖτις ἔπειτα πατὴρ μάκαρας θεοὺς αἰὲν ἐόντας
πάντας ἐπιπροΐαλλεν· ἀμοιβηδὶς δὲ κιόντες
κίκλησκον καὶ πολλὰ δίδον περικαλλέα δῶρα

---

316 ἡ δὲ *M* | κελενεφέϊ sed αι superscriptum *M* | 317 τὸ μεσηγὺ Ilgenius: μεσσηγὺ sed ut prior σ mutando nata sit *M* | 319 εὗρεν δ' ἐν Matthiaeus: εὗρε δ' ἐν *M*. εὗρε δ' ἐνὶ Ruhnkenius εὗρεν ἐνὶ Baumeisterus | 320 φωνήσασα ἔπεα Hoffmannus | 321 καλέει Ζεὺς ἄφθιτα μήδεα εἰδώς Ruhnkenius | 323 μὴ δ' *M* | ἐμοὶ Vossius ἐμόν γ' Mitscherlichius | 324 τῇ Hermannus: τῆς *M* | 325 αὐτὰρ Matthiaeus αὐτίκ' Hermannus coni. *Α* 536 similibusque locis in quibus αὐτίκα orationem nectit | ἔπειτα μάκαρας *M*: πατὴρ Valckenarius inseri iusserat. ἔπειτ' αὖτις μάκαρας Matthiaeus ἔπειτ' ἄρ Ζεὺς μάκαρας Vossius ἔπειτα θεοὺς μάκαρας Ζεὺς αἰὲν Wassenbergius et Fonteinius | 327 ἐδίδουν aut ἐδίδων libri Hesiodei op. 139 cf. 437

---

316 ὣς ἔφαθ'* non praegressa oratione directa Hes. op. 69 cf. infra 448 | Ζηνὶ κελαινεφέι Κρονίδῃ ι 552 κελαινεφέι Κρονίωνι* supra 91 | 317 αἳ δὲ μάλ' ὦκα Ἰχθυόεντα κέλευθα διέδραμον* γ 176 | ταχέως δὲ διήνυσε πᾶν τὸ μεσηγύ hym. Apol. 108 | 318 Ἐλευσῖνος θυοέσσης 97 et 490 | 319 εὗρεν δ'* εὐρύοπα Κρονίδην *Α* 498 εὗρε δ' ἐνὶ* σπῆι *Ω* 83 | ⟨κυανόπεπλος⟩ Λητὼ κυανόπεπλον Hes. th. 406 κυανόπρωρος κροκόπεπλος Hom. cf. infra 360 374 442 | 320 καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα *Ο* 35 | 321 ὄρσο Θέτι· καλέει Ζεὺς ἄφθιτα μήδεα εἰδώς *Ω* 88 cf. πεπνυμένα μήδεα εἰδὼς *Η* 278 et πεπνυμένα εἰδὼς χ 361 | 322 ἔρχεο νῦν μετὰ φῦλα θεῶν καὶ δεῦρο κάλεσσον Ἶρίν τ' ἐλθέμεναι *Ο* 54 | θεῶν αἰειγενετάων* *Β* 400 | 323 ἀλλ' ἴθι* *Γ* 432 | ἐμὸν ἔπος* ω 262 | ὄναρ ἐκ Διός* ἐστιν *Α* 63 τὰ μὲν δή τοι τετέλεσται Ἐκ Διὸς *Σ* 74 | οὔτοι ἀπόβλητον ἔπος ἔσσεται *Β* 361 οὐ δ' ἅλιον ἔπος ἔσσεται *Ω* 92 cf. β 273 εἰ δέ τι τηὔσιον ἔπος ἔσσεται hym. Apol. 540 | 324 ὣς φάτο λισσόμενος* *Π* 46 | αὐτὰρ ἐμοί γ' ἐπεπείθετο θυμὸς ἀγήνωρ κ 406 | 325 αὖτις ἔπειτα* λ 598 αὐτὰρ ἔπειτα* cum insequente πάντας* *Μ* 193 αὐτίκ' ἔπειτα* *Υ* 140 | μάκαρες θεοὶ αἰὲν ἐόντες* θ 306 | 326 ἥ σφωϊν πρῶτον μὲν ἐπιπροΐηλε τράπεζαν *Λ* 628 ἐπιπροέηκεν *Ι* 520 | ἀμοιβηδὶς δὲ* δίκαζον *Σ* 506 | 327 περικαλλέα δῶρα* θ 420

τιμάς θ' ἅς κεν ἕλοιτο μετ' ἀθανάτοισι θεοῖσιν.
ἀλλ' οὔτις πεῖσαι δύνατο φρένας οὐδὲ νόημα
θυμῷ χωομένης· στερεῶς δ' ἠναίνετο μύθους·
οὐ μὲν γάρ ποτ' ἔφασκε θυώδεος Οὐλύμποιο
πρίν γ' ἐπιβήσεσθαι, οὐ πρὶν γῆς καρπὸν ἀνήσειν,
πρὶν ἴδοι ὀφθαλμοῖσιν ἑὴν εὐώπιδα κούρην.
αὐτὰρ ἐπεὶ τόγ' ἄκουσε βαρύκτυπος εὐρύοπα Ζεύς,
εἰς ἔρεβος πέμψε χρυσόρραπιν ἀργειφόντην,
ὄφρ' Ἀίδην μαλακοῖσι παραιφάμενος ἐπέεσσιν
ἁγνὴν Περσεφόνειαν ὑπὸ ζόφου ἠερόεντος
ἐς φάος ἐξαγάγοι μετὰ δαίμονας, ὄφρά ἑ μήτηρ
ὀφθαλμοῖσιν ἰδοῦσα μεταλλήξειε χόλοιο.
Ἑρμῆς δ' οὐκ ἀπίθησεν, ἄφαρ δ' ὑπὸ κεύθεα γαίης
ἐσσυμένως κατόρουσε λιπὼν ἕδος Οὐλύμποιο.

---

328 perperam additum puto | *κεν ἕλοιτο μετ' ἀθανάτοισι θεοῖσιν* Hermannus: *κ' ἐθέλοιτο μετ' ἀθανάτοισιν ἑλέσθαι* qualis in alia oratione potest fuisse substituto *ἐθέλησι* uel *ἐθέλησθα* cf. σ 47 | 329 *ἠδὲ νόημα* Brunckius | 331 *ποτ' ἔφασκε* Hermannus: *ποτε φάσκε* M | 332 *ἐπιβήσεσθαι* Vossius et Fonteinius: *ἐπιβήσεσθ'* M | *ἢ πρὶν* Vossius *καὶ πρὶν* Elmsleius *κοὺ πρὶν* Fonteinius | 333 *γ' ἴδοι* Ruhnkenius | 334 *ἐπεί τό γ'* M | 336 *ὅς κ' Ἀίδην* Vossius | 337 *ὑπὸ* Vossius: *ἀπὸ* M | 338 *ὄφρα ἑ* Ruhnkenius | 339 *μεταλήξειε* M | 341 Homericum est *ἀπόρουσε*

---

328 cf. infra 444 | *μετ' ἀθανάτοισι θεοῖσιν** Φ 500 *μετ' ἀθανάτοισι* μεγίστας* infra 366 | 329 *πεπιθεῖν μεγάλας φρένας** Ι 184 *δύναται πεπιθεῖν φρένας** hym. Ven. 33 | *οὐκέτι τοι φρένες ἔμπεδοι οὐδὲ νόημα** σ 215 | 330 *θυμὸν χώεται* Υ 29 | *χωόμενος φρεσὶν* Τ 127 | *ἠρνεῖτο στερεῶς** Ψ 42 *ὅς δέ κ' ἀνήνηται καί τε στερεῶς ἀποείπῃ* Ι 510 | 331 *θυώδεὸς Οὐλύμποιο** hym. Merc. 322 | 332 *πρίν γ' ἀποπαύσεσθαι* πρίν γ' ἢ* Ε 288 cf. δ 475 ss. Σ 189 s. | 333 *ἴδον ὀφθαλμοῖσιν* Γ 169 | *ἴδοι τ' εὐώπιδα κούρην** ζ 113 | 334 *αὐτὰρ ἐπεὶ τόγ' ἄκουσε** Φ 377 | *βαρύκτυπος εὐρύοπα Ζεὺς** supra 3 | 335 *εἰς ἔρεβος** κ 528 | *χρυσόρραπις ἀργειφόντης** κ 331 | 336 *ἐπέεσσι παραιφάμενος** Ω 771 *μαλακοῖσι καθαπτόμενος ἐπέεσσιν** κ 70 *μαλακοῖσι παραιφάμενοι ἐπέεσσιν** Hes. th. 90 eademque sed *παραιφάμενος** Orph. argon. 1098 | 337 *ἁγνὴ Περσεφόνεια** λ 386 cf. Orph. hym. 24, 11 | *ὑπὸ ζόφου ἠερόεντος** Φ 56 | 338 *τόνγε μογοστόκος Εἰλείθυια Ἐξάγαγε πρὸ φόωσδε* Π 187 | *ὄφρά ἑ* Η 65 | cf. infra 349 ss. | 339 *ὀφθαλμοῖσιν* ἰδὼν* Γ 28 *ὄφρά σέ τ' ὀφθαλμοῖσιν ἴδω* π 32 | *μεταλλήξαντι χόλοιο** Ι 157 | 340 *οὐκ ἀπίθησαν** ψ 369 | *ὑπὸ κεύθεσι γαίης** Χ 482 *ὑπὸ κεύθεα γαίης** Orph. hym. 29, 4 | 341 *ἐσσυμένως** Γ 85 | ⟨*κατορούω*⟩ *ἀπόρουσε λιπὼν** Ε 20 *ἀνορούω ἐπορούω ἐνορούω* alia Hom. | *λιπὼν ἕδος** Ι 194 post *ἀνόρουσε* | *λιποῦσ' ἕδος Οὐλύμποιο** Ω 144

τέτμε δὲ τόνγε ἄνακτα δόμων ἔντοσθεν ἐόντα,
ἥμενον ἐν λεχέεσσι σὺν αἰδοίῃ παρακοίτι
πόλλ' ἀεκαζομένῃ μητρὸς πόθῳ ἠδ' ἐπ' ἀτλήτων
ἔργοις θεῶν μακάρων μητίσετο βουλή.
ἀγχοῦ δ' ἱστάμενος προσέφη κρατὺς ἀργειφόντης.
'Ἅιδη κυανοχαῖτα, καταφθιμένοισιν ἀνάσσων,
Ζεύς με πατὴρ ἤνωγεν ἀγαυὴν Περσεφόνειαν
ἐξαγαγεῖν ἐρέβεσφι μετὰ σφέας, ὄφρά ἑ μήτηρ
ὀφθαλμοῖσιν ἰδοῦσα χόλου καὶ μήνιος αἰνῆς
ἀθανάτοις λήξειεν, ἐπεὶ μέγα μήδεται ἔργον,
φθῖσαι φῦλ' ἀμενηνὰ χαμαιγενέων ἀνθρώπων,
σπέρμ' ὑπὸ γῆς κρύπτουσα, καταφθινύθουσα δὲ τιμὰς

---

343 *παρακοίτη* sed *ι* supra *η* *M* | 344 *ἡ δ'* Vossius *ἦτ'* Ruhnkenius. *εἶχετ' ἀτλήτῳ* Iacobsius post *ἀεκαζομένῃ* interpungens | *ἔτ' ἄπλητον* Ilgenius *ἄπλητον* Vossius *ἀτέλεστον* Ruhnkenius *ἔτ' ἄληκτον* Vossius iuuenis *ἄλληκτον* uel *ἐπ' ἀλιτρῶν* uel *ἀπατηλῶν* Mitscherlichius *ἐπ' ἀλάστοις* Hermannus *ἀποτηλοῦ* rursum Ilgenius | 345 *ἔργοις ἀθανάτων μακάρων* Ruhnkenius in quibus *ἔργοις δ'* Iacobsius mutauit, *ἔργοισιν μακάρων ὀλοὴν* Hermannus, *ὀργισθεῖσα θεῶν μακάρων* Ignarra | *μητίσατο* uel *μητίετο* Ruhnkenius *μάλα μήνιεν* Iacobsius *μηνίζετο* Ignarra *μηνίετο* Matthiaeus | *βουλή* potius quam *βουλῇ* legebam in *M*: *βουλὴν* Ruhnkenius cum *βουλῇ* edidisset et Hermannus, *οὔλοις* Iacobsius. Homericum illis colorem uix induxeris nisi ad Ditem relata emendaris fere sic *ἔργοις οἷα θεῶν μακάρων μητίσατο βουλῇ*, antiqui autem uersus 344 et 345 nullo pacto haberi possunt, ne si talem quidem sententiam efficias *οὐδέ πω ἤδη οἷά οἱ ἔργα θεῶν μακάρων μητίσατο βουλή* | 346 *κρατερὸς ἀργειφόντης M* | 347 *ἄδη M. Ἀίδη* Hermannus coni. *Βορέης* spondeo *I* 5 | 348 *με* Wyttenbachius: *σε M* | *ἄνωγεν M* | 349 *ἐξανέσαι* Vossius in priore uersu seruans *σε* | *ἐρέβεσφι* Frankius: *ἐρέβευσφι M* | *ὄφραέ M. ὄφρα ἑ* Ruhnkenius | 351 *λήξειεν* Hermannus ex 410: *παύσειεν M* 'pro *παύσαιτο*' Ruhnkenius | 352 *φθίσαι M* | 353 haec male nexa. nec probo *καταφθινύθουσι δὲ τιμαί*

---

342 *τὴν δ' ἔνδοθι τέτμεν ἐοῦσαν* ε 58 | *τόνγε ἄνακτα** Ψ 35 | *δόμων ἔντοσθεν** α 380 | 343 *κείμενον ἐν λεχέεσσιν* Ω 702 | *αἰδοίῃ παρακοίτι** γ 381 | 344 *πόλλ' ἀεκαζομένη** Z 458 | *οὐδ' ἄρ' ἔτ' ἔτλη** δ 716 | 345 *θεῶν μακάρων* ante caesuram A 339 et Θ 281 | *μέγα ἔργον ἐμητίσαντο* μ 373 | 346 *ἀγχοῦ δ' ἱστάμενος προσέφη** N 768 | *κρατὺς ἀργειφόντης** Π 181 | 347 *κυανοχαῖτα Ποσείδαον* N 563 | *καταφθιμένοισιν ἀνάσσειν** λ 491 | 348 *Ζεὺς** *ἐμέ γ' ἠνώγει* ε 99 | *ἀγαυὴ Περσεφόνεια** λ 213 | 349 *ἐρέβεσφιν** I 572 et Hes. th. 669 | cf. 338 | 350 cf. 339 et 410 | *ἀθανάτοισι χόλος καὶ μῆνις** *ἐτύχθη* O 122 | 351 *λῆγε χόλοιο* A 224 *χόλον παύσειεν** A 192 | *μάλα γὰρ μέγα μήσατο ἔργον** γ 261 | 352 *σκιοειδέα φῦλ' ἀμενηνὰ* Aristoph. av. 686 | *χαμαιγενέων ἀνθρώπων** cf. ad 113 | 353 *σπέρμ'** *ἀνίει· κρύπτεν* supra 307 | ⟨*καταφθινύθω*⟩ *καταφθινύθω ψυχόμενος* Planudes pro *καταθνήσκω* in Pauli Sil. epigrammate AP. V 239 *ἀπο-*

ἀθανάτων· ἡ δ' αἰνὸν ἔχει χόλον οὐδὲ θεοῖσι
μίσγεται, ἀλλ' ἀπάνευθε θυώδεος ἔνδοθι νηοῦ
ἧσται Ἐλευσῖνος κραναὸν πτολίεθρον ἔχουσα.'
ὣς φάτο· μείδησεν δὲ ἄναξ ἐνέρων Ἀιδωνεὺς
ὀφρύσιν οὐδ' ἀπίθησε Διὸς βασιλῆος ἐφετμῆς·
ἐσσυμένως δ' ἐκέλευσε δαΐφρονι Περσεφονείῃ.
'ἔρχεο Περσεφόνη παρὰ μητέρα κυανόπεπλον
ἤπιον ἐν στήθεσσι μένος καὶ θυμὸν ἔχουσα·
[μηδέ τι δυσθύμαινε λίην περιώσιον ἄλλων]
οὔ τοι ἐν ἀθανάτοισιν ἀεικὴς ἔσσομ' ἀκοίτης,
αὐτοκασίγνητος πατρὸς Διός· ἐνθάδ' ἰοῦσα
δεσπόσσεις πάντων ὁπόσα ζώει τε καὶ ἕρπει,
τιμὰς δὲ σχήσεισθα μετ' ἀθανάτοισι μεγίστας.
[τῶν δ' ἀδικησάντων τίσις ἔσσεται ἤματα πάντα.

---

354 *ἦδ' M* | 357 *ἀνέρων M* | 361 *ἥπιον M* | *νόον καὶ θυμὸν* Hermannus conl. *Δ* 309 | 362 imperite corrasa uerba | *μὴ δέ τι M. μηδ' ἔτι* Vossius | *φίλη περιώσιον ἄλλως* Wyttenbachius. *ἀλλέων* Vossius | 363 *ἔσομ' ἄκοιτις M* | 364 *ἔνθα δ' ἐοῦσα* Ruhnkenius pro eo ut hodie haec leguntur non recte, *ἔνθ' ἀνιοῦσα* Mitscherlichius. sublata post *Διὸς* interpunctione *ἐνθάδ' ἐούσῃ* Prellerus qui 365—369 recentiores dixit | 365 *δεσπόσσεις* Vossius: *δεσπόσεις M. δεσπόζῃς* Ruhnkenius *δεσπόσσῃς* Wolfius. glossam putauit Hermannus | 366 *σχήσεισθα* Boissonadius: *σχήσησθα M. σχήσεις θάμ' ἐν* Vossius, *αἰὲν ἔχησθα* Hermannus olim | 367—369 poetae etiam inferioris quam qui antegressos duo fecit

---

φθινύθω καταφθίω Hom. | 354 *χόλος αἰνός X* 94 | 355 *οὐδ' ἐς Ἀχαιοὺς Μίσγετο Σ* 215 | *ἀπάνευθε* Α* 35 | *βωμός τε θυήεις θ* 363 cf. supra 244 | 356 *Ἀθήνας εἶχον ἐυκτίμενον πτολίεθρον B* 546 | 357 *ὣς φάτο· μείδησεν δὲ* πατὴρ E* 426 | *ἄναξ ἐνέρων Ἀιδωνεὺς Υ* 61 | 358 *ἀγανᾷ χλαρὸν γελάσσαις ὀφρύι* Pind. Pyth. 9, 38 *Κωκυτόν τ' ἀθέμιστον ὑπ' ὀφρύσι μειδήσαντα* Hermesianax fr. 2, 9 | *οὐδ' ἀπίθησε* ε* 43 | *ἐφετμή* Ξ* 249 | 359 *ἐσσυμένως** 341 | *ἐκέλευσε* praecedens imperativo ο 217 | *περίφρων Περσεφόνεια** infra 370 | 360 *ἔρχεο* M* 343 | *Δημήτερα κυανόπεπλον** supra 319 | 361 *ἤπιον* υ* 327 | *ἐν στήθεσσιν* κ* 329 | *μένος καὶ θυμὸν* E* 470 | *θυμὸν ἔχουσιν* X* 263 | 362 ⟨*δυσθυμαίνω*⟩ *πανθυμαδὸν ζ* 33 *δράκον ὄμμασι θυμήνασαι* Hes. scut. 262 | *λίην** iambus Z 486 | *περιώσιον ἄλλων* Pind. Isth. 4, 3 *ἔξοχον ἄλλων* τ* 247 | 363 *ὅς τοι ἀκοίτης O* 91 cf. supra 83 ss. | 364 cf. 85 | *ἐνθάδ' ἰοῦσα* ζ* 179 | 365 ⟨*δεσπόζω*⟩ *διδαχθεὶς τοῦδε δεσπόσω λόγου* Aesch. Ag. 543 *δέσποινα* Hom. cf. supra 144 | *ἤ που ζώει τε καὶ* ἔστιν ω* 263 | *πάντων ὅσσα τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει P* 447 *τά τε ζώει τε καὶ ἕρπει** Orph. arg. 1013 cf. Claudiani de raptu Pros. II 294 ss. | 366 *ἔχεισθα* Theoguis 1316 | *μετ' ἀθανάτοισιν* Ξ* 366 cf. supra 328 | 367 ⟨*ἀδικέω*⟩ Sappho Attici *ἄδικον*

οἵ κεν μὴ θυσίαισι τεὸν μένος ἱλάσκωνται
εὐαγέως ἔρδοντες, ἐναίσιμα δῶρα τελοῦντες']
ὣς φάτο· γήθησεν δὲ περίφρων Περσεφόνεια,
καρπαλίμως δ' ἀνόρουσ' ὑπὸ χάρματος· αὐτὰρ ὅγ' αὐτῇ
ῥοιῆς κόκκον ἔδωκε φαγεῖν μελιηδέα λάθρῃ
ἀμφὶ ἓ νωμήσας, ἵνα μὴ μένοι ἤματα πάντα
αὖθι παρ' αἰδοίῃ Δημήτερι κυανοπέπλῳ.
ἵππους δὲ προπάροιθεν ὑπὸ χρυσέοισιν ὄχεσφιν
ἔντυεν ἀθανάτους πολυσημάντωρ Ἀιδωνεύς.
ἣ δ' ὀχέων ἐπέβη, πάρα δὲ κρατὺς ἀργειφόντης
ἡνία καὶ μάστιγα λαβὼν μετὰ χερσὶ φίλῃσι
σεῦε δι' ἐκ μεγάρων· τὼ δ' οὐκ ἄκοντε πετέσθην.
ῥίμφα δὲ μακρὰ κέλευθα διήνυσαν· οὐδὲ θάλασσα

---

